την στάσιν οἵαν ἔστησαν αἱ Κυναιγείρου χεῖρες ἤδη
πίπτουσαν τὴν Ἑλλάδα; τοῦ μὲν γὰρ σοῦ νεκροῦ
βέλη βάρβαρα, τῆς δὲ πάσης Ἑλλάδος αἱ χεῖρες
46 ἡμῶν τὰ στερεώματα. ἄπελθε, παραχώρησον· ἐρῶ
τι καὶ περὶ τοῦ σοῦ παιδός. καλὸν ἐρῶ λόγον, ὅτι
τοιούτου στρατιώτου Κυναιγείρου πολέμαρχος ἦν.
σὺ δ' ἐπιταφίῳ μηδὲ ἐπιχείρει πατὴρ ὢν νεκροῦ
47 μηδὲ ταφῆναι θέλοντος. ἤδη πάλαι παρελήλυθεν ὁ
καιρὸς τῶν ὑμετέρων ἐπιταφίων· πάλαι γάρ, πάλαι
τέθαπται Καλλίμαχος ὑπὸ τῶν βελῶν. εἰμὶ δέ, ὦ
ἄνδρες δικασταί, πρὸς τὸν λόγον ἐπιτηδειότερος τὸν
ἐπὶ τῷ σήματι· καὶ γὰρ αὐτοῦ πατήρ εἰμι καὶ τῶν
μεγάλων ὀνομαστότατος· ἔχω δὲ καὶ γλῶτταν οἵαν 8
48 ἐκεῖνος δεξιάν. ἐάσατέ με τραγῳδῆσαι τραγῳδίαν
ἐπιτάφιον καὶ χορὸν παραγαγεῖν ἐπινίκιον· μὴ φθο-
49 νήσητε δράματι Μαραθωνίῳ. ἀλλ', ὦ Αἰσχύλε παῖ,
τὸν λόγον μοι σὺ ποίησον καὶ συγκόσμησον τὰς
Μαραθῶνος μάχας τῷ πατρί. μή με ἀτιμάσητε· χεῖ-
ρας ὑμῖν ὁμοίας προτείνω ταῖς ὑπὲρ ὑμῶν κειμέ-
ναις. ἔχομαι τοῦ λόγου, λαμβάνομαι τοῦ τάφου.

3 κοινῷ B C κοινῶν A νόμω (non νομῶ) Ω 5 σύστασιν B ἣν C 8 τὰ σώματα Ω s στερεώματα i; articulum non deleuerim 11 μὴδ' B C 13 ὑμετέρων scripsi ἡμετέρων Ω s γὰρ om. B C πάλαι A καὶ πάλαι B C s καὶ delendum esse uiderat i 15 τὸν ἐπὶ A τῶν ἐπὶ B C 16 σήματι C s σώματι corr. B[1] (σή superscr.) σώματι A S cf. p. 17, 2 17 γλῶσσαν C 18 με om. C τραγωδεῖν B C 19 παράγειν B C 21 συγκόμισον C 22 με B C τε A 24 ἔχομαι in initio uersus positum. ante ἔχομαι uerbum duarum litterarum interposuit, litteras εχ mutauit manus prima, ita tamen ut quid corrigere uoluerit non pateat A

οὐκ ἀφίσταμαι τὸ πολυάνδριον διεξιών, πατὴρ ὢν Κυναιγείρου. ἐπιτίθημι τὰς χεῖρας τῷ σήματι· καὶ ταύτας ὁ θέλων ἀποκοψάτω.

B

Ο ΚΑΛΛΙΜΑΧΟΥ ΠΑΤΗΡ

Τὸν μὲν τῆς πόλεως ἐπαινῶ νόμον κοσμοῦντα 1
τὸν τῶν ἀγαθῶν ἀνδρῶν τάφον καὶ λόγῳ. ἔργων
γὰρ εὖ πραχθέντων λόγοι ῥηθέντες καλῶς εἰσι τιμή·
ἐμοὶ δὲ αὐτῷ μὲν πρόσφορος τοῦ παιδὸς ἀρετὴ μα-
κροτέρα τῆς ψυχῆς γενομένη, διὰ δὲ τὴν αὐτοῦ
Καλλιμάχου προτίμησιν, εἰ ταῖς τῶν πατέρων τιμαῖς
ἡ τῶν παίδων ἀνδραγαθία κρίνεται, δείξω τὸν λό-
γον. Καλλιμάχου γὰρ πατὴρ ὢν παντὸς ἄλλου 2
πρέπω μᾶλλον ἐπὶ τοῦ κοινοῦ βήματος ἑστάναι. ζῶν
μὲν οὖν Καλλίμαχος ἡγεμὼν ζῶντος Κυναιγείρου
[πολέμαρχος] ἦν· εἰ δὲ [καὶ] τεθνεὼς ἡττηθήσεται,
καὶ τὴν ἀρχὴν καὶ τὴν ἀρετὴν ὑβριεῖται, τὴν μὲν
αἰτίαν τῆς πάσης ὑμῖν νίκης γενομένην, τὴν δὲ τὸ
μέγιστον παρασχοῦσαν τῶν ἐν Μαραθῶνι θαυμά-

1 *λαβὼν* G ℰ: *διεξιὼν* in mrg. G[1] et sic *ω* 2 *σήματι* *ο σώματι* *Ω s* 3 post *ἀποκοψάτω*: *ὁ κυναιγείρου πατὴρ* C 7 *ὁ καλλιμάχου πατήρ* A *εἰς τὸ ἐναντίον ὁ καλλιμάχου πατήρ* B *ἐκ τοῦ ἐναντίον ὁ καλλιμάχου πατήρ* C 12 *καλῶς ῥηθέντες* C 13 *πρόσφορος* C et sic correxerat *ο προσφόρως* A B *s* 14 *τοῦ* pro *τὴν* C 15 *τῶν πατέρων* A B *πατέρων* C 16 *δείξω τὸν λόγον* *Ω s* *δέξομαι τ. λ.* uel potius *δείξω τ. λ. ἐμοὶ προσήκειν* *ο* 20 *πολέμαρχος* deleu. *i* „Ferrem si legeretur: *ἡγεμὼν ζ. Κυναιγείρου ἦν, πολέμαρχος ὤν.* quamquam *ἦν* ne necessarium quidem" idem *καὶ* A B *s* om. C; aut delendum aut in *δὴ* mutandum esse uiderat *i* (cf. p. 20, 8) 22 *ἡμῖν* C

ἀνθρώποις ἀθανασίαν ἐβιάζετο· ἐπεὶ δὲ ἄνθρωπος
Καλλίμαχος ἦν καὶ θνητὸς ἦν καὶ τοῦ σώματος
ἀπελθεῖν ἠναγκάζετο τῷ πλήθει τῶν τραυμάτων,
ἀπέθανε μέν, οὐκ ἔπεσε δέ, ἀλλ' ἐξιοῦσα ἡ ψυχὴ
βεβαίως τῷ σώματι μένειν καὶ καρτερεῖν ἐνετείλατο
καὶ μάχεσθαι τὴν δυνατὴν τοῖς ἀψύχοις μάχην. τὸ
δὲ ἐπείσθη καὶ βεβαίως ἔμεινεν ὥσπερ ἐρριζωμένον 10
[καὶ] διὰ τοῦ πολέμου τοιοῦτο οἷον αὐτὸ ἐξιοῦσα
ἔστησεν ἡ ψυχὴ καὶ πολὺν χρόνον τοὺς βαρβάρους
ἐξηπάτησεν· οὐδεὶς γὰρ ᾤετο τεθνάναι τὸν ἑστη-
12 κότα. ὦ Καλλιμάχου φοβεροῦ καὶ νεκροῦ· ὦ στρα-
τιώτου τῆς εἱμαρμένης πολυχρονιωτέρου· ὦ μακρο-
τέρα τῆς ψυχῆς, ὦ πιστοτέρα τοῦ πνεύματος ἀρετή·
ὦ σῶμα πολλῶν ψυχῶν ἰσόρροπον· ὦ φρόνημα
ὀρθόν· ὦ σῶμα ἔμψυχον· ὦ σῆμα νικηφόρον ὅπλοις
καὶ βέλεσι κεκοσμημένον· ὦ πρῶτον Μαραθῶνος
τρόπαιον. ὦ τηρήσας ὀρθὴν τὴν ἐλευθερίαν Ἀθη-
ναίοις, ὦ στήσας ἐν αὐτῷ τὴν Ἑλλάδα, οὐκ εἴασας
13 τὰς Ἀθήνας πεσεῖν. ἐπειδὴ δὲ οἱ βάρβαροι τὰ μὲν
πεπονηκότες, τὰ δ' ἀφωπλισμένοι, τὰ δὲ πεφοβημένοι,
τραπέντες ἔφυγον εἰς τὰς ναῦς καὶ τὴν θάλασσαν
περιέβλεπον ἄβατον αὐτοῖς Καλλιμάχου τὴν γῆν
πεποιηκότος, πολλὴ μὲν ἦν τοῖς ἡγουμένοις σχολή,

4 *ἀπέθανεν — ἔπεσεν, ν ἐφ.* utroque loco eraso A 7 *ἔμενεν* C *ἐρριζωμένον* C *ἐρριζώμενον* A B 8 *καὶ* Ω *s* quod deleui (cf. p. 17, 20) *τοιοῦτον* C 11 *φοβεροῦ καὶ* *s* (cf. p. 29, 12) *καὶ φοβεροῦ* Ω 12 *εἱμαρμένης* A *μακροτέρου* *s* „legitur et *μακροτέρα* (Ω) quod malo" *S* 15 *σῆμα* scripsi *σῶμα* Ω *s* (cf. p. 16, 16; 17, 2) 17 *τηρῆσαν — στῆσαν — ἐάσαν* *s* *τηρήσας — στήσας — ἐάσας* *S* 18 *ὦ* A B *ὃς* (δ' suprascr.) C *αὐτῷ* scripsi *αὐτῶ* A B *ἑαυτῶ* C *s* 19 *ἔπει* A *ἐπειδὴ* B *ἐπεὶ* C *δ'* C *τὰ μὲν* om. B 23 *ἦν* om. B *βουλομένοις σχολὴ* A B *s* *βαλομένοις σπουδὴ* C *διώκειν* addendum putat *i* (et simile quid *p* legit) uel potius *φοβουμένοις* scribendum; *ἡγουμένοις* correxi propter id quod sequitur uerbum *ἀκολουθησάντων*

εἷς δὲ τῶν ἀκολουθησάντων ἐπὶ τὸν αἰγιαλὸν ἐγένετο
Κυναίγειρος καί τινος ἁπτόμενος ἀκροστολίου τὴν
χεῖρα ἀπεκόπη ῥᾳδίως ὥσπερ παιδίον καὶ παρὰ μὲν
τὴν πρύμναν ἔπεσεν ἡ χείρ, παρὰ δὲ τὴν χεῖρα
αὐτός· ἐμήνυσε δὲ τὸ τῆς χειρὸς τραῦμα ψυχῆς καὶ
σώματος τὴν ἀσθένειαν. σὺ δέ, ὦ τέκνον, εἱστήκεις 14
ἔτι καὶ Δάτιδος ἀποπλέοντος ὥσπερ καὶ ταῦτα ἀν-
δρείως ἐπιτηρῶν, τῶν βαρβάρων τὴν φυγὴν καὶ
καθαρὸν γενέσθαι τὸν Μαραθῶνα τῶν πολεμίων,
ὡς ἂν ἐπὶ μηδενὸς μάρτυρος ἀλλοτρίου πεσοίης. 15
ταῦτ᾽ ἐμὲ ἐπὶ τὸν τάφον ἀναβιβάζει, ταῦτ᾽ ἐμοὶ τὸν
ἐπιτάφιον λόγον παραδίδωσιν· ἐμόν ἐστι τοῦ τάφου
τὸ κεφάλαιον. τὸν μὲν δὴ μόγις ἐκίνησα καὶ κεῖσθαι
σὺν τοῖς στρατιώταις παρεκάλεσα· ὁ δὲ εἰσέρχεται
μὲν εἰς τὸν τάφον, ἄξιος δὲ ὑμῖν καὶ ταύτης τῆς
τιμῆς τὸν πατέρα τὸν ἐκείνου προκριθέντα λέγειν
ἐπὶ τῷ κοινῷ σήματι. καὶ γὰρ δίκαιον οὗ ζῶντος ἦν 16
ἡ κατὰ τὸν πόλεμον ἡγεμονία, τούτου καὶ τεθνεῶτος
εἶναι τὰς πρώτας τιμὰς ἐπὶ τῷ τάφῳ. ἡμεῖς ἤγομεν,
ἡμεῖς ἐροῦμεν· ἡμεῖς ὡπλίζομεν, ἡμεῖς ἐπαινεσό-
μεθα· παρ᾽ ἡμῶν ἦν τὰ συνθήματα, παρ᾽ ἡμῶν
ἔστω καὶ τὰ ἐγκώμια. μὴ λυπήσητε Καλλίμαχον 17
συνιέντα μηδὲ καθέλητε τὸν ἀνεστηκότα μηδὲ ἀπο-
χειροτονήσητε τὸν πολέμαρχον τὸν νενικηκότα μηδὲ
ἀτιμότερος ἑνὸς καὶ δευτέρου τῶν νενικηκότων
παρ᾽ ὑμῖν ὀφθῇ. οὐ γὰρ ἐν τοῖς ὀνόμασι καὶ τοῖς

1 *ἐπὶ τὸν αἰγιαλὸν* om. C 2 *ἀκροστόλου* C 3 *παρά*, *πα* ex correctura A[1] *περὶ* B C 4 *παρα* (sic) A *περὶ* B C 7 *ταύτη* C 8 *τῶν βαρβάρων ἐπιτηρῶν* C 10 *πεσοίης* scribere ausus sum *ταυτ᾽ ἐμὲ* — *ταῦτ᾽ ἐμοὶ* scripsi *ταῦτά με* — *ταῦτα μοι* Ω *s* *πεσούσης* A B *s* *πέσης* C *p* *πέσειας* *O* 19 *τὸν τάφον* C 20 *ἐροῦμεν* C et id coniecerat *o* *εὕρομεν* A B *s* 23 *μὴ* priore loco C 25 *τῷ* B[1] *τῶν* B[2] 26 *ἡμῖν* C *ὀφθείη* B

σχήμασι καὶ τῇ στολῇ ἀγάλλεσθαι χρὴ μόνον τὴν πο-
18 λεμαρχίαν ἀλλὰ καὶ ταῖς τῶν ἔργων τιμαῖς αὔξεσθαι
τὰς ἀρχάς. οὕτως οὖν σκοπεῖτε. εἰ τῆς μάχης οἱ
παῖδες ἡμῶν περιγενόμενοι τῆς παρούσης ἠμφισβή- 11
τουν τάξεως, τίς πρότερος ἂν διεκρίθη; ὁ ἰδιώτης
ἢ ὁ πολέμαρχος; τίς ἐπήνεσε τοὺς πεσόντας; οὐχ
ὁ ὁπλίσας; οὐχ ὁ τάξας; οὐχ ὁ τοιούτους παρασχών;
ἐμοὶ μὲν δοκεῖ. ὑμεῖς δέ, τί; ἆρα οὐκ ἄν, εἰ καὶ
μόνον ἴσην τὴν ἀρετὴν ὁ πολέμαρχος τῷ ἰδιώτῃ
παράσχῃ, τὸ πλέον ἂν τῆς τιμῆς τῇ ἡγεμονίᾳ δῶτε;
19 νὴ Δία. οὐκοῦν ἥν, εἰ περιῆσαν ἀμφότεροι, προτί-
μησιν ἔσχε Καλλίμαχος, ταύτην καὶ τεθνεὼς δίκαιος
φέρεσθαι· ἐκ γὰρ ὧν ἦν κρείττων Κυναιγείρου πε-
ριὼν περιόντος, ταῦτα καὶ νῦν ἔχει καὶ τὸ προκε-
κρίσθαι δοκεῖν δι' ἐμοῦ τοῦ πατρὸς αὐτῷ προτιμω-
μένου τῶν ἄλλων πατέρων ὑπάρξει. εἰ δὲ οὐδὲ τὰ
τοιαῦτα *ἔσται παρὰ τῷ πολέμῳ* τεθνηκότι, ποίων
τεύξεται; προεδρεία τις ἔσται αὐτῷ ἑπομένῳ; προε-
τάττετο [τῶν ὀνομάτων] τῶν ἐν ταῖς στήλαις γρα-
φομένων πρῷτος [διότι πρεσβύτερος τούτων ἦν]
ἀπὸ τῆς οἰκείας αὐτοῦ γενέσεως, καὶ διὰ τοῦτο δεῖ

1 ἀγάλλεσθαι (ά in lit. A[1]) A probant *Si* et ἀγγέλεσθαι B ἀγγέλλεσθαι C *s p o* 2 ἀυξεσθαι (ἀυξεσ in lit. A[1]) A αὔξεσθαι *S* ἀξιοῦσθαι B C *s* 4 ἡμῶν ex ὑμων B[1] παραγενόμενοι C 5 πρῶτος C 6 ἐπήνεσεν, ν eraso A 7 ὁπλίσας scripsi cf. p. 21, 20 πιάσας A C κοπιάσας B *s* 8 ἆρα A 9 τὴν ἀρετὴν ἴσην C 10 τιμῆς A C ἡγεμονίας B τίσι τὸ σχῆμα in mrg. B[1] τῇ ἡγεμονίᾳ om. B 11 εἰπεριῆσαν C εἴπερ ἦσὰν A B 12 ἔσχεν, ν eraso A 15 αὐτοῦ C προτιμωμένου τῶν ἄλλων Ω τῶν ἄλλων προτιμωμένῳ *s* προτιμωμένου coniecerat *o* 16 δ' C 17 ἔσται παρὰ τῶ πολέμω τεθνηκότι Ω ἔ. π. τ. π. τεθνηκότος *s* ἔσται τῷ πολεμάρχῳ τεθνηκότι *o* Malim: παρέσται τῷ πολεμάρχῳ τεθνηκότι 18 προεδρία B C τίς Ω *s* quod correxi 19 τῶν ὀνομάτων A B om. C 20 πρῶτον, ν a m[2] addito C διότι — ἦν deleui 21 καὶ om. B

τὸν ἐπὶ τοῖς θαπτομένοις λόγον εἰωθότα ἡμῶν ἀκού-
ειν λεγόντων. ὑμεῖς τοιγαροῦν τὸν στρατηγὸν Μιλ- 20
τιάδην ἐτιμήσατε θείῳ στεφάνῳ. δικαίως οὖν καὶ
τῷ στρατηγῷ τιμή τις ἐδόθη καὶ τῷ πολεμάρχῳ δὲ
γενέσθω γέρας. ὅταν γὰρ ὁ πατὴρ αὐτοῦ λέγων τὸν
λόγον ἀναβιβάσῃ Καλλίμαχον, τότε φωνὴν αὐτῷ
δότε ἐπι . . . . τοῦτο πρὸς πίστιν σω-
τηρίας μόνον ἐν τῷ σχήματι. εἰ μὲν γὰρ Μιλτιάδης 21
ὁ στρατηγὸς ἠμφισβήτει τοῦ λόγου, παρεχώρησα ὡς
ἀρχῇ μείζονι· καὶ γὰρ τὸ τὸν ἀποιχόμενον ἄρχοντα
ἔλαττον ἢ πρότερον γέρας σχεῖν . . . . εἰκός ἐστι τὸ
τῆς μοίρας ἐνδεὲς τῷ πλείονι τῆς τιμῆς παραμυθου-
μένους· τούτου δὲ τῆς πείρας ταύτης ἀφεστηκότος
τίς Καλλιμάχου πρότερός ἐστιν; Εὐφορίων, μὴ λύε 22
τάξιν Μαραθωνίαν· „μηδ' εἰς τὸ πρόσθεν τῷ πολε-
μάρχῳ δίδωσι τὸν λόγον ὁ νόμος τῆς δημοσίας
ταφῆς." καὶ γὰρ εἰ περιὼν τύχοι, οὗτός ἐστιν ὁ τὴν
πρόθεσιν [αὐτῶν] ποιούμενος καὶ καλῶν ἐπὶ τὸν
λόγον καὶ παντὸς ἐπιμελόμενος τοῦ τάφου. ἐκ μὲν 23

3 *στεφάνω· δικαίως οὖν καὶ τῶ* Ω *s* *στεφάνῳ· δικαίως· εἰ οὖν τῷ· i* et simile quid *p* 4 punctum post *ἐδόθη* posuit *s* quod deleui *δὲ* A B *s* om. C *δὴ i* 7 *δότε ἐπὶ τοῦτο* (*τούτω* B C *s*) Ω *s* *δώσετε, λείπουσαν i* et simile quid suspicatus erat *p*. Lacunam indicaui quam sic expleas: *ἐπι*-(*φέροντες λεῖπον*) *τοῦτο* *πίστην* C 9 *ἠμφισβήτη* C 10 *γὰρ* om. A *τὸ τὸν* B C *τοῦτον* A *s* *καὶ γὰρ τοῦτον ἀποιχόμενον ἄρχοντα οὐκ ἔδει ἔλαττον ἢ πρῶτον* (uel *πρότερον* Addenda p. XIV) *γέρας σχεῖν, εἰκὸς γάρ ἐστι — παραμυθεῖσθαι ο καὶ γάρ τοι τὸν ἀποιχόμενον* („malim *ἀπερχόμενον*") *ἀρκοῦντα ἔλαττον ἢ πρότερον γέρας σχεῖν, εἰκός ἐστι — παραμυθεῖσθαι i* 11 *καὶ* ante *ἔλαττον* A *s* om. B C lacunam indicaui; *οἰκτείρειν* enim uel simile quid excidisse patet 12 *παραμυθουμένους* A *S* *παραμυθουμένης* B C *παραμυθεῖσθαι s* 14 *πατρὸς* post *Καλλ.* inserit *i* 15 *τοῦ* pro *τῷ* A *μηδενὶ πρόσθεν τοῦ πολεμάρχου* coniecit *S* 16 *δίδωσιν ὁ νόμος τὸν λόγον* C 17 *τύχη* C *s* 18 *αὐτῶν* delevi 19 *ἐπιμελόμενος* C *ἐπιμελούμενος* correxerat *i* *ἐπικαλούμενος* A B *s* suspectum habuit *S* *τοῦ* om. C

δὴ τῆς διὰ τῶν ἔργων .... πολλοῦ δεῖ Κυναιγείρῳ
πρὸς Καλλίμαχον εἶναι παραβολήν· ὁ μὲν γὰρ ἅπαν-
τας εἰς Μαραθῶνα ἦγε συνθήματι, ὁ δὲ ἐδέχετο· ὁ μὲν
ἐκέλευεν, ὁ δὲ ἐπείθετο· ὧν δ' οἱ πειθόμενοι καὶ κελευ-
όμενοι ποιοῦσιν, αἴτιοι τούτων οἱ πείσαντες καὶ κελεύ-
σαντές εἰσιν ὥσπερ μαθητῶν μὲν παιδεύσεως οἱ διδά-
σκαλοι, χορῶν δὲ ᾠδῆς οἱ χοροδιδάσκαλοι, ναυτῶν
δὲ εὐπλοίας οἱ κυβερνῆται [στρατιωτῶν ἀρετῆς οἱ 12
πολέμαρχοι καὶ στρατηγοί], ὥσθ' ὧν Κυναίγειρος
ἐτόλμησεν, καὶ τούτων Καλλίμαχος διδάσκαλος. ἐβόα
γὰρ ἐγκελευόμενος· „μὴ φείδεσθε μήτε χειρῶν μήτε
ὀφθαλμῶν μήτε ὅλων σωμάτων." ὧν δὲ Καλλίμαχος
ἐλαμπρύνετο, τούτων [οὐδὲν] οὔτε εἰς Κυναίγειρον
οὔτε εἰς ἄλλον ἔστι ποιήσασθαι τὴν ἀναφορὰν ἀλλὰ
24 μόνον αὐτὸν τὸν πεποιηκότα. καὶ Κυναίγειρος μὲν
νεώτερος ὢν ταῦτα ηὐθαδιάσατο, Καλλίμαχος δὲ
πρεσβύτερος, ὥσθ' ὁ μὲν ἡλικίας θερμότητι τολμη-
ρός, ὁ δὲ ἀνὴρ ἀγαθὸς ὢν ἀρετῆς ἐβεβαίου κρίσιν
καὶ τὴν τοῦ σώματος ῥώμην ἐλάττων καθ' ἡλικίαν
25 ὑπάρχων ἐκ μόνης ἀρετῆς ὑπερέβαλλε. Καλλίμαχος
μὲν οὖν ἐν τῇ τῶν δεινῶν ἀκμῇ τοῖς βαρβάροις πα-
ρετάξατο καὶ θαλάττης ἐπιχωριαζούσης δίκην *ἐκ

1 lacunam indicaui; κρίσεως enim uel tale quid excidit cf. p. 7, 2 2 παραβολῆς A B 3 ἦγεν A 5 αἴτιον B 6 κελεύσεως C 8 στρατιωτῶν δὲ C στρατιωτῶν — στρατηγοί deleui 9 ὁ κυναίγειρος C 10 ἐτόλμησε B C 11 φείδεσθαι C μήτε ὀφθαλμῶν μήτε χειρῶν C 13 οὐδὲν Ω s quod deleui οὐδενὸς coniecit S 16 ηὐθαδιάσατο A et, θ pro θι correcto, B ηὐθαδειάσατο C 18 δ' C βεβαίου A τὴν κρίσιν C 19 ἢ pro τὴν s „repone τὴν" (Ω) S ῥώμην Ω s ῥύμην S 20 ὑπερέβαλε C 21 ἀντετάξατο C 22 θαλάσσης C ἐκ τῆς ἤλιδος Ω s ἐκ τῆς Μιλήτου dubitanter o ἐκ σύγκλυδος i Malim συνήλυδα quod in σὺν ἤλιδι corruptum, deinde, ut aliquo modo intellegeretur, in ἐκ τῆς ἤλιδος mutatum puto

τῆς Ἤλιδος εἰς τὴν Ἀττικὴν τὴν Ἀσίαν ῥέουσαν
ἀπεώσατο, ἐν ᾧ πᾶς ὁ κίνδυνος καὶ τῆς ἀρετῆς ὁ
καιρὸς ἦν· Κυναίγειρος δὲ φευγόντων ἤδη πεφοβη-* 26
*μένων, ὑπὸ τοῦ Καλλιμάχου τετραμμένων, δεδιωγ-
μένων, εἰς τὴν θάλασσαν συνεληλαμένων, ἐν ταῖς
ναυσὶν ὄντων, λυόντων τὰ ἀπόγεια μιᾶς νεὼς
(ἔσχετο) πρύμνης. ἔστι δὲ τὸ μὲν ἄκρας εὐτυχίας
καὶ περιττῆς τινος ἀρετῆς τῶν κρατίστων πολέμων
ἄθλους ὑφίστασθαι, τὸ δὲ παντὸς ἤδη καὶ τοῦ τυ-
χόντος διώκειν τὸν φεύγοντα καὶ τοῖς τετραμμένοις
ἐπεμβαίνειν. οὕτω γὰρ δὴ καὶ γυναῖκες ἀνδράσιν* 27
*ἐπιτίθενται καὶ κύνες κατὰ λεόντων θρασύνονται.
ὅταν γὰρ τὸ τῶν πολεμίων φοβερὸν οἴχηται, τότε
παντὶ τολμᾶν πρόχειρον καὶ τὸ φρόνημα τῶν ἑλόν-
των γίνεται οὐκ ἐξ οἰκείας ἀρετῆς ἀλλ' ἐκ τῆς τοῦ
πολεμίου κακότητος πεπορισμένον· ἀρετῆς δὲ ἀγὼν
ἐν ἀντιπάλῳ μὲν τῆς δυνάμεως, ἀσταθμήτῳ δὲ τῷ
τῆς τύχης κρίνεται. ἃ μὲν οὖν Καλλίμαχος ἠρίστευ-
σεν ἐν τῷ χαλεπῷ τοῦ δρᾶν καὶ φοβερῷ τοῦ παθεῖν
ἐγένετο, ἃ δὲ ἠθέλησε Κυναίγειρος ἐξουσία μὲν τοῦ
ποιεῖν ἦν, ἄδεια δὲ τοῦ μὴ παθεῖν ἤδη τῶν πολε-
μίων τὸ χεῖρον ὡμολογηκότων καὶ τὴν ἀναγκαίαν
σωτηρίαν πυριζομένων φυγῇ. ὅλως δὲ τὰ μὲν Κυ-* 28
*ναιγείρου Καλλίμαχος παρεσκεύασεν· ἐκ γὰρ τῆς
Καλλιμάχου μάχης προτέρας γενομένης καταπλαγέν-
τες οἱ βάρβαροι τὰ νῶτα δείξαντες παρεῖχον τοῖς
αὖθις ἐπιφερομένοις ῥᾳδίαν τὴν δίωξιν· τὰ δὲ Κυ-*

5 *θάλατταν* B 7 *ἔσχετο* scripsi cf. p. 5, 25; 6, 9 *ἔσχε* s om. Ω *πρύμνης* Ω *πρύμναν* s 9 *ἄθλους* scripsi *αὐτοὺς* Ω s 14 *τολμᾶν παντὶ* C 15 *ἀλλὰ τῆς* C 16 *πολέμου* C 18 *τέχνης* B 20 *τοῦ μὲν* A 21 *ἀδεία* B C *ἀδεεῖ* A 24 *καλλίμαχον* B 25 *πρότερον* C 27 *ῥαδίως* A B *κυναιγείρω* C

ναιγείρου δεύτερα καὶ τελευταῖα πεπραγμένα τῶν
29 Καλλιμάχου λαμπρῶν ἀριστείαν, αἰτεῖ ὥστε καὶ
τοῦτο τὸν λόγον τῷ θατέρῳ παρασχεῖν. δυνάμεώς 13
ἐστιν ἔργον, οὐκ ἐπιδείξεως· κράτιστον δὲ ἔργον τῆς
τοιαύτης αἰτίας τὸ πρεσβύτατόν [δύναμις] ἐστιν·
ἔργων γὰρ μὴ πρότερον γινομένων οὐκ ἂν εἴη ἐπί-
δειξις. ἀρχὴ δ' οὐκ ἄκαιρός τις ἦν ταῦτα καὶ τῶν
ἐπ' αὐτοῖς εὖ γε τεχνηθέντων αἰτία ὥσπερ τὰ
θεμέλια τῶν οἰκοδομημάτων καὶ τῶν νεῶν αἱ τρό-
πεις καὶ πάντα ὅσα πρῶτα καὶ τὴν ἀρχὴν ἰσχυρὰν
30 ἔχει. ὅπερ δὲ ἡ Μαραθῶνι νίκη ἐδυνάμωσε πρὸς
τὰς αὖθις γενησομένας ἁπάσας κατὰ τῶν βαρβάρων,
τοῦτο καὶ Κυναιγείρῳ τὰ Καλλιμάχου τολμήματα·
διὰ γὰρ τοῦτον ἀνέπνευσαν οἱ λοιποὶ καὶ φεύγοντας
ἰδόντες τοὺς βαρβάρους ἐθάρρησαν· πρὸς γὰρ τοῦ-
τον ὁρῶν τις καὶ ποδῶν καὶ χειρῶν ἠμέλει τὸν ὅλου καὶ
31 παντὸς ὑπεριδόντα τοῦ σώματος. ἔτι δὲ Κυναίγειρος
μὲν ἐκ γῆς πρὸς ναῦν ἐμάχετο, ἐκ τοῦ βεβαίου καὶ
πολλοῦ πρὸς τὴν ἐν τῷ σφαλερῷ καὶ στενῷ, Καλλί-
μαχος δὲ πρὸς ἰσοστασίους αὐτῷ τοὺς βαρβάρους,
ἤδη καὶ γῆς κυρίους, τοὺς ἀποβάντας ἐκ τῶν νεῶν
καὶ τὸν Αἰγαῖον δεδουλωμένους καὶ τὴν κατάπληξιν

2 ἀριστειῶν τί αἰτεῖ; p 3 τοῦτο τὸν scripsi puncto post αἰτεῖ (s) deleto et post παρασχεῖν posito τὸν τούτου Ω s τῷ A s τὸ B om. C παρασχεῖν BC s παρασχὼν A 4 δ' C 5 αἰτίας om. B καὶ pro τὸ o, quo reiecto κρατίστων δὲ ἔργων legendum putauit Addenda p. XIV 5 δύναμις deleui 6 προτέρων BC 7 ἦν A om. BC 8 μετ' B εὖ γ' ετεχνηθέντων B εὐτετεχνηθέντων A τεχνηθέντων C 10 πρῶτον C 11 δὴ o ἡ μαραθῶνι νίκη ἐδυνάμωσε A S ἡ μαραθωνικὴ δύναμις B C s ἡ Μαραθωνικὴ νίκη δύναμις o 13 καὶ om. B C 16 ὁρῶν τις C ὁρῶν τίς B ὁρῶντες A καὶ (ante ποδῶν) Boissonadius ad Eunapium p. 565 κἂν Ω s ὅλον s „repone ὅλου" (Ω) S 19 τὴν scripsi τὸν Ω s τῷ om. C στενῷ, ν ex αρ correcto B[1] 20 ἰσοστασίους ex ἰσοσταδίους B[1] 21 κυρίους τοὺς om. C ἐπιβάντας C

φοβερὰν ἐπιφέροντας ἐκ τῆς τῶν συνειλημμένων
Ἑλλήνων ἁρπαγῆς· καὶ Κυναίγειρος μὲν ἴσως καὶ 32
ζήλῳ τῷ πρὸς Καλλίμαχον καὶ φιλοτιμίᾳ, Καλλίμα-
χος δὲ οὐχ ὑπ' ἄλλου παρωξυμμένος οὐδὲ πρὸς ἕτε-
ρον φιλοτιμούμενος ἀλλ' αὐθαιρέτῳ σπουδῇ. καὶ
Καλλίμαχος μὲν ἀρετῆς παράδειγμα, Κυναίγειρος δὲ
Καλλιμάχου μίμημα, ὁ μὲν τὴν χεῖρα μόνην, ὁ δὲ
ὅλα τὰ μέρη τοῦ σώματος· πᾶσι γὰρ μεμάχηται καὶ
τοῦ πολέμου πάντα μείζονα. καὶ ὁ μὲν μιᾷ τῶν
ἀναγομένων ἐπεχείρησε νηί, ὁ δὲ πρὸς πάνθ' ὁμοῦ
τὰ βασιλέως ἔθνη παρετάξατο. ὁ μὲν ἀνόητον ὅλως 33
τὴν ἐπιβολὴν ἐποιήσατο· ἡ γὰρ ἐλπὶς αὐτῷ τῆς
τόλμης ἀδύνατος ἦν. πῶς γὰρ χειρὶ νῆα ἐλάβετο;
τίς δὲ ἂν ἐγένετο τοσοῦτος τῇ δεξιᾷ ὥστε, εἰ μὲν
ἠγνόησε κατασχεῖν οὐ δυνησόμενος, ἀλλὰ προσεδό-
κησε βιάσασθαι τριήρη δακτύλοις; ἠλίθιον τὸ τόλ-
μημα. εἰ δ' εἶδεν ὡς τὸ τῆς πείρας ἀδύνατον, ἀλλ' ὡς
ἐν τοῖς ἀμηχάνοις τόλμα κυρεῖ, ἀλαζὼν ἡ προσ-
ποίησις ἦν. καὶ οὐκ ἀσφαλὴς οὐδὲ ἀναγκαία ἡ
ἐπίδειξις τοῦ ἀπόρου σχήματος καὶ ματαία ἡ σκέψις
διότι οὔτε ἀλαζὼν οὔτε ἀνόητος ἀρετή, οἷοι δὴ καὶ
τυφλοὶ πόνοι πάντες οἱ περὶ τὰς ἀδυνάτους ἐπιθυ-
μίας. χρὴ δὲ ὁρᾶν οὐδὲν πρότερον οὔτε τέχνην 34
ἔργοις ἐπιτιθεμένην οὐδὲ ἀρετὴν λόγοις ἀπειργασμέ-
14 νην ὡς τέλος τῆς ἐπιχειρήσεως εἰ δύνατον ἔτι καὶ

4 δ' C παροξυνόμενος C 8 γὰρ om. C 11 βασίλεια C 14 δ' C 15 οὐ δυνησόμενος Ω s „in altero omittitur negatio" S προσεδόκησεν A 16 δακτύλῳ C 17 εἶδεν A B οἶδεν C s ᾔδει i ἄλλως A B 18 κυρεῖ scripsi κρατεῖ Ω s 20 σκῆψις C 21 ἡ ἀρετὴ C οἷοι δὴ καὶ scripsi cf. p. 29, 5 οἷοι δὲ καὶ Ω s ἄνοοι δὲ καὶ ο οἷοι δὴ οἱ i 22 πάντες πόνοι C 24 ἐπιτιθεμένην Ω S ἐπιφερομένην s οὔτε — οὐδὲ scripsi οὐδὲ — οὔτε (οὔτ' B C) Ω s ἀπειργασμένην scripsi ἀπειργομένην Ω s

299

'ιλὰ

ν
ά-
σεν
των 38
ντας
νεώς·
ο. καὶ 39
κοινὸν
ρατα ἐπὶ
μούμενα,
ν φαρέτραι
ν ἔστη μαρ-
φισβητοῦντα
χεῖρα ταύτην
υ μὲν οὖν ἡ 40
κῆσαι τὸν βασι-
οῖς ἄβατον εἶναι·
ν τοὺς βαρβάρους
α τοὺς πολεμίους
τέρας. τί ποτε ἂν
; τοῖς φεύγουσιν ἂν
; ἐκράτει. . . . .

3 ὦ om. B τολμηρὸν
των om. C 7 ἐτύγχανεν
ις Schaefer ad Gregor. Cor.
12 ἦλθεν A καὶ om. C
i cf. p. 20, 11 13 δ' altero
17 ἀπέκοψαν s ἀπέκοψεν Ω
ἡμῖν Ω ὑμῖν s ὑμᾶς mauult
oniecerat i ἀναιρεῖ A C s 22
ἂν ἐβόα i ἀνεβόα Ω ς 24
Orellium secutus, uid. ad p. 30, 7.

ληπτὸν τῇ φύσει καὶ δυναμένῳ καὶ πειρωμένῳ ἀν-
δρί. ἡ δὲ ναῦς ὅλη, μεστὴ πληρώματος καὶ τοσαύτης
εἰρεσίας συγκεκροτημένης, πῶς ἦν ἐπιλήψιμος, πῶς
ἀγώγιμος τοσούτῳ ὄγκῳ τῆς ἐλπίδος καὶ τῇ προσ-
35 βολῇ τοῦ τολμήματος; *μὴ τήν τινος μανικοῦ σχή-
ματος τὸ ἄπορον τῆς ἐπιθυμίας καὶ τὸ μάταιον τῆς
προσβολῆς ἄφρον καὶ ἀπέραντον* ἢ ἀνδρὸς οὐ
βουλομένου ναῦν λαβεῖν ἀλλ' ἀπολῦσαι. οὔκουν
ἀρετὴν ἔτι τὴν ἀνόητον τόλμαν νοητέον ἀλλὰ μα-
36 νίαν τὴν ἄχρηστον αὐθάδειαν. εἴποι δὲ ἄν τις εὖ
φρονῶν αὐτῷ· „τί ταῦτα μωραίνεις, Κυναίγειρε, τί
δ' ἐπιχειρεῖς ναῦν κατασχεῖν ἀνθρωπίνῃ δεξιᾷ; τὸ
τόλμημά σου φύσιν οὐκ ἔχει. τίς τοῦτο Γλαῦκος
πόντιος, τίς Τρίτων ἐποίησε; μόνον δύναται μειρά-
κιον ναῦν ἐπαγαγεῖν ἢ [Ποσειδῶνος] δεξιὰ ἀνέμοις
ἁμιλλᾶσθαι; πάρισος τίς εἷς τοσούτῳ πληρώματι;
συναπάξει σε ἡ ναῦς πλέουσα, λήσεις πρύμνης ἐξηρ-
37 τημένος, αἰχμάλωτος ἀκροστολίου γενόμενος." γεγό-
νασιν ἐπὶ ναυσὶ μάχαι καὶ πολλαί· τοιαύτην καὶ

3 συγκεκροτημένη dubitanter *o* 4 ὕγκω Ω *S* ὄκνῳ *s* προβολῇ B 5 τολμήματος· μὴ τὴν τινὸς A τολμήματος· ἢ τολμητὴν τινὸς B τολμήματος· ἢ μὴ τὴν τινὸς C *s* 6 ἄπορον A *S* ἄπειρον B C *s* τὸ ἄπ. τῆς ἐπιθυμίας Ω τῆς ἐπιθυμίας τὸ ἄπ. *s* 7 ἢ Ω εἰ *s* 8 βολομένου C ἀπολύσαι Ω ἀπολλύσαι *s* ἀπολέσθαι *i* huiusmodi quid scriptum fuisse opinatur *i*: ἢ ὁρμὴ ἦν τινος μανικοῦ λήματος τὸ τῆς ἐπιθυμίας ἄπορον, καὶ [τῆς πείρας] τὸ μάταιον, καὶ τῆς προσβολῆς ἄφρον καὶ ἀπέραντον· ἢ ἀνδρὸς — ἀπολέσθαι Equidem locum sic restituo: ἦ μήν τινος μανικοῦ τοῦ σχήματος τὸ ἄπορον (cf. p. 27, 20) καὶ τῆς ἐπιθυμίας τὸ μάταιον καὶ τῆς προσβολῆς τὸ ἄφρον καὶ ἀπέραντον, ἢ ἀνδρὸς — ἀπολῦσαι 10 δ' C 12 δὲ B C κατέχειν B C 14 μόνον Ω ς μῶν *i* μειράκιον] ον add. C[2] 15 ἀπαγαγεῖν C ποσειδῶνος Ω *s* quod deleui παιδὸς *i* δεξιὰ AB δεξιᾶ C 16 ἀμιλᾶται C πάρισος τίς εἷς scripsi cf. p. 15, 14 περινοστήσεις A C *s* περινοστήσας B 18 ἀκροστόλου C 19 τοιαύτας B C καὶ om. B C

Ὅμηρος διηγήσατο· οὐδέ γε εἷλκέ τις ἐκείνας, ἀλλὰ
πῦρ ἐνέβαλε, δᾷδας ἐκόμιζεν. αὕτη μόνη κατέχει
ναῦν ἡ λαβή. ὁ δὲ σός, ὦ Εὐφορίων, υἱὸς μειράκιον
τολμηρὸν ἦν καὶ τοῦ μὲν σώματος κατεφρόνει, μά-
χεσθαι δὲ εὐβούλως οὐκ ἠπίστατο, οἵαν ἀπώλεσεν
εἰκῇ δεξιάν. διὰ ταῦτα Καλλίμαχος μὲν ἁπάντων 38
ἔτυχεν ὧν ἠθέλησε, πολλοὺς δὲ ἀφώπλισε, πάντας
δὲ ἐφόβησεν, ἐφύλαξε δὲ τὴν στάσιν καὶ τεθνεώς·
ὁ δὲ σὸς υἱὸς ὧδε τὴν ἐπίνοιαν ἐκαρπώσατο. καὶ 39
Καλλίμαχον μὲν οὐχ εἷς ἀπέκτεινεν, ἀλλὰ κοινὸν
ἔργον τῆς Ἀσίας ἐγένετο· πάντα μὲν δόρατα ἐπὶ
τοῦτον ἦλθε καὶ ψαῦσαι Καλλιμάχου φιλοτιμούμενα,
πάντα δὲ ἀκόντια, πᾶσαι δὲ ἐκενώθησαν φαρέτραι
βελῶν, ἅπαντα δὲ τοξεύματα περὶ τοῦτον ἔστη μαρ-
τυρούμενα τὴν κοινωνίαν καὶ πάντα ἀμφισβητοῦντα
περὶ τοῦ νεκροῦ· Κυναιγείρου δὲ τὴν χεῖρα ταύτην
ἀπέκοψαν ὥσπερ ξύλον. Καλλιμάχου μὲν οὖν ἡ 40
τόλμα καὶ μάχη τοῦτο ἐβούλετο, νικῆσαι τὸν βασι-
λέως στρατὸν καὶ τὴν Ἀττικὴν αὐτοῖς ἄβατον εἶναι·
Κυναίγειρος δὲ καὶ φεύγοντας ἡμῖν τοὺς βαρβάρους
ἀνεῖργε καὶ κατεῖχεν ἐν τῇ χώρᾳ τοὺς πολεμίους
καὶ μάχης ἔπραττεν ἀρχὰς δευτέρας. τί ποτε ἂν
ἐποίησεν ἄλλο βασιλεὺς παρών; τοῖς φεύγουσιν ἂν
ἐβόα καὶ τὰς Φοινίσσας ναῦς ἐκράτει. . . . .

1 εἷλκέν A 2 ἐνέβαλλε B C 3 ὦ om. B τολμηρὸν μειράκιον C 5 δ' C 6 ἁπάντων om. C 7 ἐτύγχανεν B C 9 δὲ om. B 10 οὐχ εἷς Schaefer ad Gregor. Cor. *de dialect.* p. 56 οὐδεὶς Ω s 12 ἦλθεν A καὶ om. C ψαῦσαι καὶ A B s quod correxi cf. p. 20, 11 13 δ' altero loco C 16 κυναίγειρος C 17 ἀπέκοψαν s ἀπέκοψεν Ω 18 τόλμη C 20 καὶ om. BC ἡμῖν Ω ὑμῖν s ὑμᾶς mauult *O* 21 ἀνεῖργε B ἀνείργει coniecerat *i* ἀναιρεῖ A C s 22 ἀρχὴν C 23 φεύγου . . . A ἂν ἐβόα *i* ἀνεβόα Ω ς 24 lacunam indicaui J. Conr. Orellium secutus, uid. ad p. 30, 7.

„ἄφες ἄφες, Κυναίγειρε, μὴ λαμβάνου. μενοῦσιν ἂν
41 *λαμβάνῃς, πάλιν εὑρήσουσιν ἄλλας ἀποβάσεις. μὴ κράτει ναῦν ὑπὸ Πανὸς δεδιωγμένην μηδ' ἔχου τριήρους σὺ παρ' Ἀθηνᾶς *ἀφεψαλωμένης.* ἀφίησιν αὐτὴν ἡ Δημήτηρ καὶ Κόρη· φευγέτω. πάρεστι Θησεύς, πάρεστιν Ἡρακλῆς· ἀλλ' οὐ κατέχουσι τὴν ναῦν ὅτι μὴ συμφέρει. ἔχω καὶ πνεύματα συγγενῆ μᾶλλον σοῦ κατασχεῖν δυνάμενα· ἀλλὰ τὰ μὲν ἐκπέμπει τὸν πόλεμον ἐκ τῆς Ἀττικῆς διὰ τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, σὺ δέ, ὦ Κυναίγειρε, ναύσταθμον Μηδικὸν τὸν Μαραθῶνα ποιεῖς. ὦ Κυναίγειρε, τὴν ναυμαχίαν νικήσει βασιλεύς· τῆς μάχης μόνῳ Κυναιγείρῳ εἴσεται χάριν. ἄπορον ποιῶν αὐτοῦ τὴν φυγὴν ἀναγ-*
42 *καίαν αὐτῷ τὴν νίκην εἰργάζου." ἀλλὰ γὰρ οὐχ [μετὰ τῆς χειρὸς] ὡς (μετὰ) διανοίας ἡμᾶς ἔβλαπτε — τἀληθῆ γὰρ εἰρήσεται — ἀλλὰ ἄλλως ἐμαίνετο καὶ τὸν Καλλιμάχου νεκρὸν ὁρῶν εὐδοκιμοῦντα ἐπεθύμει μετὰ ἄλλου σχήματος ἀπολέσαι τὴν ἀλαζόνα δεξιὰν ὅπως ἂν ἓν γένηται τῶν Μαραθωνίων διηγημάτων· ἡμεῖς δὲ οὔθ' ἑκόντες οὔτε ἄκοντες*

1 *μενοῦσιν s μένουσιν Ω* 2 *λάβῃς* C *εὑρήσουσιν* scripsi *εὔρουσιν* (sic) A *εὕρουσιν* B *εὕρωσιν* C *εὑροῦσιν s* „non placet *εὑροῦσιν* pro *εὑρήσουσιν*" *S* 4 *ἀφεψαλωμένης* A B *s ἐφεψαλωμένης* C et sic Matthaei *Glossaria Gr. minora* vol. I p. 14 n. 23 *ἀφεψάλου ἀφιεμένης* dubitanter *o οὐ φεψαλωμένης i ἀπεψαλμένης* fuisse credo 5 *φευγέτω Ω S φεύγουσαν s* [6 *θυσεὺς* C 7 „non apparet, quisnam loquatur, nisi forte Orellius verum vidit, qui §. 40. ante *ἄφες* excidisse suspicatur verba: *τί δ' ἂν εἶπε* [*εἴποι*] *καὶ ἡ πατρίς*; Sed hoc quum incertum sit, aliud etiam tentare licet ut legatur: *ἔχει ἡ γῆ πνεύματα συγγενῆ.*" *i* 8 *σοῦ* non *σου Ω* 10 *ὑμᾶς* mauult *o* 11 *εἰ* pro *ὦ i* 12 *νικῆσαι* C *τὴν μάχην* A 13 *αὐτοῦ ποιῶν* B C *ἀναγκαῖον* B 14 *εἰργάζου* scripsi *εἰργάζετο Ω s* 15 uerba *μετὰ τῆςχ ειρὸς* deleui, *οὐχ* pro *οὐ* scripsi, *μετὰ* post *ὡς* restitui *δι' ἀνοίας* B 18 *μετὰ ἄλλου Ω μετὰ τοῦ ἄλλου s μετά του ἄλλου i* 20 *οὔτ'* altero loco C

οὐδὲν ἐβλάπτομεν. εἰ μὲν δὴ πάντες ὅμοιοι Καλλι- 43
μάχῳ κατ' ἐκείνην ἐγένοντο τὴν ἡμέραν, οὐδεὶς ἂν
ἐλείφθη τῶν βαρβάρων καὶ πάσας τὰς ναῦς ἂν
αὐτῶν κενὰς εἵλομεν· εἰ δέ γε εἶδον εἰς τὰς Κυναι-
γείρου λαβάς, ἄκοντες ἂν πάντες οἱ βάρβαροι τὴν
ἧτταν ἀνεμαχέσαντο. Κυναίγειρος μὲν οὖν οὔτε θάρ-
ρος φίλοις οὔτε δέος τοῖς πολεμίοις ἐγένετο, ὃς
δράσας οὐδὲν ἀλλὰ ἀποτμηθεὶς τὴν χεῖρα ἔπεσεν
εὐθὺς ὥσπερ ἑτέραν οὐκ ἔχων ἀλλ' ἐν τῇ δεξιᾷ τῆς
ψυχῆς αὐτῷ κειμένης· τὸν δ' ἐμὸν παῖδα οἱ φίλοι
μὲν ὁρῶντες ἐν τῇ τάξει μένοντα πάντες ἥδοντο,
τρέσαντες δὲ ὑπεχώρουν οἱ βάρβαροι. καὶ τὸ σύμ-
παν, ὁ μὲν ἔπεσεν, ὁ δὲ οὔ. ἀθλητὰς δ' εἶναι τοὺς 44
στρατιώτας ὑπολαβόντες πότερον στεφανώσομεν, τὸν
ὀρθὸν ἢ τὸν κείμενον, τὸν ἑστηκότα ἢ τὸν ἐρριμμέ-
νον; οὐ παύσῃ παραβάλλων ἀνδρὶ χεῖρα καὶ τραῦμα
ἓν μυρίοις καὶ τὸν λειποτακτήσαντα τῷ μακροβίῳ
νεκρῷ καὶ τὸν ἠκρωτηριασμένον τῷ μέχρι νῦν ὁλο-
κλήρῳ; ὁ μὲν ἀφῆκε τὴν ναῦν, ὁ δὲ ἐκράτει τῆς
ἀσπίδος. λέγε νῦν καὶ τραγῴδει πολλάκις· καὶ γὰρ 45
16 Αἰσχύλου πατὴρ εἶ καὶ τὴν χεῖρα ὅρος ἐποίεις. „ἐκ
γῆς ἐναυμάχει"· Δάτις δ' ἐκ θαλάττης ἐπεζομάχει.
„κατέσχε τὴν ναῦν"· καλωδίου τὸ ἔργον· ἄγκυρα
τοῦτο κρεῖττον ποιεῖ. ὁ μὲν ἐλάβετο, ὁ δ' ἀπέκοψε.
„κατέσχε τοὺς πλέοντας"· οἱ δὲ καὶ ὅμως ἐξέπλευσαν.
ἄνδρες Ἀθηναῖοι, περιελθόντες τὸ στρατόπεδον τοὺς 46
μὲν εὑρήσετε χειρῶν ἄνευ, τοὺς δὲ ποδῶν, ἑτέρων

3 ἂν om. C 5 ἄκοντες ἂν πάντες (ἅπαντες *s*) Ω *s* ἅπαντες, ἄκοντες αν *i* 6 ἀνεμαχέσαντο Ω *S* ἀνεκαλέσαντο *s* 8 ἀλλ' B C 13 δ' ante οὔ C δὲ ante εἶναι B 15 ἐρριμένον C 20 τραγωδίαν C 21 εἶ om. C 22 ἐναυμάχει scripsi ἐναυμάχεις Ω *s* δὲ B C θαλάσσης B C 23 ναῦν; mauult *s* 25 πλέοντας; mauult *s*

μὲν οὒς, ἑτέρων δὲ κεφαλὰς ἀποτετμημένας τῶν ἄλλων σωμάτων· πολλοὺς ὁμοίους ὄψεσθε Κυναιγείρῳ νεκρούς, Καλλιμάχῳ δὲ οὐδένα. τίς γὰρ σοὶ ἰσοστάσιος νεκρός; τίς γὰρ πιστὸς οὕτω στρατιώτης
47 εἰς μάχην; νῦν σε μᾶλλον, ὦ Καλλίμαχε τέκνον, ἐθαύμασα Κυναιγείρου πεσόντος ὑπὸ πληγῆς μιᾶς, ὦ πολλὰ τοιαῦτα λαβὼν τραύματα καὶ μὴ κεκινημένε. οὐδεὶς σὲ Περσῶν διελὼν ἄπεισιν ὡς τῶν λοιπῶν ἀνθρώπων τὰ σώματα οὐκ ἀκινάκῃ Μηδικῷ, οὐ κοπίδι Περσικῇ, οὐκ αἰχμῇ Βαβυλωνίᾳ, οὐ πελέκει Φοινικίῳ. ὦ μόνε τῶν ἀποθανόντων οὐ πεσὼν καὶ μόνε μὴ ζῆν ἀπιστούμενε ἕστης μαρτυρούμενος τὴν νίκην τῷ σχήματι καὶ τῆς ψυχῆς ἀπελθούσης ὅμοιος
48 ἦσθα τῷ μαχομένῳ. ὢ τοῦ μεγάλου θαύματος· νῦν πρῶτον ἀθάνατος ὤφθη νεκρός. ὦ παῖ, μάντευμα ἄρα σου τοῦ κάλλους καὶ τῆς μάχης καὶ τοὔνομα ἦν. ἀνακάλει νῦν πολλὰ τὸν Κυναίγειρον ᾧ καὶ τὸ συμβὰν ὄνομα ἄδηλον [εἶναι] τῷ ἐρευνᾶν βουλομένῳ.
49 ὁ σὸς πάρεργον τοῖς βαρβάροις ἐγένετο, ὁ δὲ ἐμὸς υἱὸς δι' ἀρετῆς περιουσίαν καὶ τῆς μάχης ὅλης ἐκράτησε καὶ τῆς νῦν τελουμένης τιμῆς γέγονεν αἴτιος. τῶν γὰρ ἄλλων πολεμάρχων δειλίαν ἐντιθεμένων τῷ πλήθει ἡ τούτου ψῆφος προσγενομένη τὴν ὅλην συμβολὴν ἐποίησε καὶ ὅπως δεῖ ἀπομάχεσθαι καὶ

2 πολλοὺς δὲ B ὁμοίως B 3 γρ. σοι S (Ω) om. s 7 κεκινημένος C 11 φοινικῷ s „malim φοινικίῳ ut in altero codice" S (Ω) 12 μὴ om. C ζῆν ἀπιστούμενε scripsi cf. p. 20, 10; 35, 3 ζηλούμενε Ω s 15 πρῶτος C 16 σου om. B C 17 ἀνακάλει — κυναίγειρον om. B C ὢ A B ὡς C 18 ὄνομα ἄδηλον scripsi ἄδηλον εἶναι ὄνομα Ω s ᾧ καὶ τὸ συμβὰν ἄδηλον εἶναι ὄνομα τῷ ἐρευνᾶν βουλομένῳ, ὃς .... ἐγένετο. ὁ s ᾧ καὶ τὸ συμβὰν ἄδηλον ὄνομα (uel uerbis transpositis: τὸ συμβὰν ὄνομα ἄδηλον) φανεῖται τῷ ἐρευνᾶν βουλομένῳ, ὃς .... ἐγένετο. ὁ i 19 ὁ σὸς B C ὃς A δ' C 22 τιθεμένων B 24 ἐποίησεν A

τολμᾶν ἐκύρωσεν ὥστε παντὸς ἂν καὶ μόνος καὶ μάλιστα τοῦ κατορθώματος αἴτιος νομίζοιτο. καὶ 50 τοῦτο μὲν αὐτῷ πρὸς πάντας ἐστίν, πρὸς δὲ τὸν Κυναίγειρον καὶ μάλιστα. τῷ ἑνὶ γὰρ τούτῳ σε καὶ ἀνανταγωνίστῳ νικήσομεν ἐρωτήματι. Κυναίγειρος θαυμαστὸς καὶ τολμηρὸς ἦν ἀνήρ· οὐ μέχρι τοῦ βίου; οὐ μέχρι τῆς ψυχῆς; ἀλλ' ὡμολόγησε θάνατον καὶ τῷ κοινῷ τῆς φύσεως ἡττήθη νόμῳ. Καλλιμάχου δὲ ἡ ἀρετὴ ἀόριστός ἐστι καὶ φύσεως περιττοτέρα μόνη καὶ τὴν ψυχὴν ὑπερβαίνει. ἀγαθοὺς μὲν στρατιώτας πολλοὺς εὕροις [Μακεδόνας], Καλλίμαχον δὲ μόνον ἀνείκαστον τὸν ἐν τῷ βίῳ [μόνον] μεμαχημένον, τὸν μηδὲ ἐν τῷ θανάτῳ καμόντα ἀλλὰ καὶ μετὰ τὸν βίον ἄνδρα ἀγαθὸν γενόμενον καὶ τοὺς 17 κοινοὺς τῆς φύσεως καὶ ἀρετῆς παρελθόντα ὅρους. ὦ καὶ καλλίμαχε καὶ καλλίνικε, ἄτρωτε καὶ πολύτρωτε, πῶς σε ἄν τις ἐπαινέσειε κατὰ τὴν ἀξίαν; οὐ γὰρ Αἰσχύλου καὶ τοιούτων ποιητῶν καὶ ῥητόρων ἄξιος ἀλλά τινος Ὁμήρου τραγῳδίας [ἢ τραγικῆς φωνῆς]. ὦ κοινὲ τῆς Ἀσίας σκοπέ· ὦ σκυλεύσας τῷ θανάτῳ τὴν στρατιὰν βασιλέως καὶ πλεῖστα λάφυρα τῶν βαρβάρων τὰ βέλη κατασχών· ὦ σεμνὸν ἀνάθημα

3 ἐστί B C 7 ὡμολόγησεν A 9 ἄριστός A B φυσει B 10 μόνη Ω s μονὴ dubitanter o 11 εὕρῃς B Μακεδόνας deleu. i 12 μόνον ἀνείκαστον τὸν ἐν τῶ βίω μόνον μεμαχημένον Ω nisi quod μὲν post τὸν inserit C¹ ἀνείκαστον τῶν ἐν τῷ βίῳ μόνον μεμαχημένον s qui pro ἀνείκαστον ἀνίκητον legendum esse suspicatur. alterum μόνον deleui 13 μεμαχημένων o probat i cui post ἀνείκαστον καὶ inserendum uidetur 13 τὸν δὲ C μὴδὲ ἐν A B μηδὲν s „repono μηδ' ἕν" S μὴ ἐν C 15 προελθόντα A 16 καὶ καλλίμαχε A καλλίμαχε B C 17 ἐπαινέσειεν A 18 τοιούτου ποιητοῦ καὶ ῥήτορος C 19 τραγωδίας ω τραγω δ ℰ'. in mrg. G¹ τραγικοῦ G γικῆς — σκοπὲ in lit. B¹ ἢ τραγικῆς φωνῆς deleui 22 ἀνάθεμα A

δὴ τῆς διὰ τῶν ἔργων .... πολλοῦ δεῖ Κυναιγείρῳ
πρὸς Καλλίμαχον εἶναι παραβολήν· ὁ μὲν γὰρ ἅπαν-
τας εἰς Μαραθῶνα ἦγε συνθήματι, ὁ δὲ ἐδέχετο· ὁ μὲν
ἐκέλευεν, ὁ δὲ ἐπείθετο· ὧν δ' οἱ πειθόμενοι καὶ κελευ-
όμενοι ποιοῦσιν, αἴτιοι τούτων οἱ πείσαντες καὶ κελεύ-
σαντές εἰσιν ὥσπερ μαθητῶν μὲν παιδεύσεως οἱ διδά-
σκαλοι, χορῶν δὲ ᾠδῆς οἱ χοροδιδάσκαλοι, ναυτῶν
δὲ εὐπλοίας οἱ κυβερνῆται [στρατιωτῶν ἀρετῆς οἱ 12
πολέμαρχοι καὶ στρατηγοί], ὥσθ' ὧν Κυναίγειρος
ἐτόλμησεν, καὶ τούτων Καλλίμαχος διδάσκαλος. ἐβόα
γὰρ ἐγκελευόμενος· „μὴ φείδεσθε μήτε χειρῶν μήτε
ὀφθαλμῶν μήτε ὅλων σωμάτων.“ ὧν δὲ Καλλίμαχος
ἐλαμπρύνετο, τούτων [οὐδὲν] οὔτε εἰς Κυναίγειρον
οὔτε εἰς ἄλλον ἔστι ποιήσασθαι τὴν ἀναφορὰν ἀλλὰ
24 μόνον αὐτὸν τὸν πεποιηκότα. καὶ Κυναίγειρος μὲν
νεώτερος ὢν ταῦτα ηὐθαδιάσατο, Καλλίμαχος δὲ
πρεσβύτερος, ὥσθ' ὁ μὲν ἡλικίας θερμότητι τολμη-
ρός, ὁ δὲ ἀνὴρ ἀγαθὸς ὢν ἀρετῆς ἐβεβαίου κρίσιν
καὶ τὴν τοῦ σώματος ῥώμην ἐλάττων καθ' ἡλικίαν
25 ὑπάρχων ἐκ μόνης ἀρετῆς ὑπερέβαλλε. Καλλίμαχος
μὲν οὖν ἐν τῇ τῶν δεινῶν ἀκμῇ τοῖς βαρβάροις πα-
ρετάξατο καὶ θαλάττης ἐπιχωριαζούσης δίκην * ἐκ

1 lacunam indicaui; *κρίσεως* enim uel tale quid excidit cf. p. 7, 2   2 *παραβολῆς* A B   3 *ἤγεν* A   5 *αἴτιον* B   6 *κελεύσεως* C   8 *στρατιωτῶν δὲ* C   *στρατιωτῶν — στρατηγοί* deleui   9 *ὁ κυναίγειρος* C   10 *ἐτόλμησε* B C   11 *φείδεσθαι* C   *μήτε ὀφθαλμῶν μήτε χειρῶν* C   13 *οὐδὲν* Ω *s* quod deleui *οὐδενὸς* coniecit *S*   16 *ηὐθαδιάσατο* A et, *θ* pro *θι* correcto, B *ηὐθαδειάσατο* C   18 *δ'* C   *βεβαίου* A   *τὴν κρίσιν* C   19 *ἢ* pro *τὴν* *s* „repone *τὴν*“ (Ω) *S*   *ῥώμην* Ω *s* *ῥύμην* *S*   20 *ὑπερέβαλε* C   21 *ἀντετάξατο* C   22 *θαλάσσης* C   *ἐκ τῆς ἤλιδος* Ω *s*   *ἐκ τῆς Μιλήτου* dubitanter *o*   *ἐκ σύγκλυδος* *i*   Malim *συνήλυδα* quod in *σὺν ἤλιδι* corruptum, deinde, ut aliquo modo intellegeretur, in *ἐκ τῆς ἤλιδος* mutatum puto

τῆς Ἤλιδος* εἰς τὴν Ἀττικὴν τὴν Ἀσίαν ῥέουσαν
ἀπεώσατο, ἐν ᾧ πᾶς ὁ κίνδυνος καὶ τῆς ἀρετῆς ὁ
καιρὸς ἦν· Κυναίγειρος δὲ φευγόντων ἤδη πεφοβη- 26
μένων, ὑπὸ τοῦ Καλλιμάχου τετραμμένων, δεδιωγ-
μένων, εἰς τὴν θάλασσαν συνεληλαμένων, ἐν ταῖς
ναυσὶν ὄντων, λυόντων τὰ ἀπόγεια μιᾶς νεὼς
(ἔσχετο) πρύμνης. ἔστι δὲ τὸ μὲν ἄκρας εὐτυχίας
καὶ περιττῆς τινος ἀρετῆς τῶν κρατίστων πολέμων
ἄθλους ὑφίστασθαι, τὸ δὲ παντὸς ἤδη καὶ τοῦ τυ-
χόντος διώκειν τὸν φεύγοντα καὶ τοῖς τετραμμένοις
ἐπεμβαίνειν. οὕτω γὰρ δὴ καὶ γυναῖκες ἀνδράσιν 27
ἐπιτίθενται καὶ κύνες κατὰ λεόντων θρασύνονται.
ὅταν γὰρ τὸ τῶν πολεμίων φοβερὸν οἴχηται, τότε
παντὶ τολμᾶν πρόχειρον καὶ τὸ φρόνημα τῶν ἑλόν-
των γίνεται οὐκ ἐξ οἰκείας ἀρετῆς ἀλλ' ἐκ τῆς τοῦ
πολεμίου κακότητος πεπορισμένον· ἀρετῆς δὲ ἀγὼν
ἐν ἀντιπάλῳ μὲν τῆς δυνάμεως, ἀσταθμήτῳ δὲ τῷ
τῆς τύχης κρίνεται. ἃ μὲν οὖν Καλλίμαχος ἠρίστευ-
σεν ἐν τῷ χαλεπῷ τοῦ δρᾶν καὶ φοβερῷ τοῦ παθεῖν
ἐγένετο, ἃ δὲ ἠθέλησε Κυναίγειρος ἐξουσία μὲν τοῦ
ποιεῖν ἦν, ἄδεια δὲ τοῦ μὴ παθεῖν ἤδη τῶν πολε-
μίων τὸ χεῖρον ὡμολογηκότων καὶ τὴν ἀναγκαίαν
σωτηρίαν πορίζομένων φυγῇ. ὅλως δὲ τὰ μὲν Κυ- 28
ναιγείρου Καλλίμαχος παρεσκεύασεν· ἐκ γὰρ τῆς
Καλλιμάχου μάχης προτέρας γενομένης καταπλαγέν-
τες οἱ βάρβαροι τὰ νῶτα δείξαντες παρεῖχον τοῖς
αὖθις ἐπιφερομένοις ῥᾳδίαν τὴν δίωξιν· τὰ δὲ Κυ-

5 θάλατταν B 7 ἔσχετο scripsi cf. p. 5, 25; 6, 9 ἔσχε *s* om. Ω πρύμνης Ω πρύμναν *s* 9 ἄθλους scripsi αὐτοὺς Ω *s* 14 τολμᾶν παντὶ C 15 ἀλλὰ τῆς C 16 πολέμου C 18 τέχνης B 20 τοῦ μὲν A 21 ἀδεία B C ἀδεεῖ A 24 καλλίμαχον B 25 πρότερον C 27 ῥᾳδίως A B κυναιγείρῳ C

ναιγείρου δεύτερα καὶ τελευταῖα πεπραγμένα τῶν
29 Καλλιμάχου λαμπρῶν ἀριστείαν, αἰτεῖ ὥστε καὶ
τοῦτο τὸν λόγον τῷ θατέρῳ παρασχεῖν. δυνάμεώς 13
ἐστιν ἔργον, οὐκ ἐπιδείξεως· κράτιστον δὲ ἔργον τῆς
τοιαύτης αἰτίας τὸ πρεσβύτατόν [δύναμις] ἐστιν·
ἔργων γὰρ μὴ πρότερον γινομένων οὐκ ἂν εἴη ἐπί-
δειξις. ἀρχὴ δ' οὐκ ἄκαιρός τις ἦν ταῦτα καὶ τῶν
ἐπ' αὐτοῖς εὖ γε τεχνηθέντων αἰτία ὥσπερ τὰ
θεμέλια τῶν οἰκοδομημάτων καὶ τῶν νεῶν αἱ τρό-
πεις καὶ πάντα ὅσα πρῶτα καὶ τὴν ἀρχὴν ἰσχυρὰν
30 ἔχει. ὅπερ δὲ ἡ Μαραθῶνι νίκη ἐδυνάμωσε πρὸς
τὰς αὖθις γενησομένας ἁπάσας κατὰ τῶν βαρβάρων,
τοῦτο καὶ Κυναιγείρῳ τὰ Καλλιμάχου τολμήματα·
διὰ γὰρ τοῦτον ἀνέπνευσαν οἱ λοιποὶ καὶ φεύγοντας
ἰδόντες τοὺς βαρβάρους ἐθάρρησαν· πρὸς γὰρ τοῦ-
τον ὁρῶν τις καὶ ποδῶν καὶ χειρῶν ἠμέλει τὸν ὅλου καὶ
31 παντὸς ὑπεριδόντα τοῦ σώματος. ἔτι δὲ Κυναίγειρος
μὲν ἐκ γῆς πρὸς ναῦν ἐμάχετο, ἐκ τοῦ βεβαίου καὶ
πολλοῦ πρὸς τὴν ἐν τῷ σφαλερῷ καὶ στενῷ, Καλλί-
μαχος δὲ πρὸς ἰσοστασίους αὐτῷ τοὺς βαρβάρους,
ἤδη καὶ γῆς κυρίους, τοὺς ἀποβάντας ἐκ τῶν νεῶν
καὶ τὸν Αἰγαῖον δεδουλωμένους καὶ τὴν κατάπληξιν

2 ἀριστειῶν τί αἰτεῖ; p 3 τοῦτο τὸν scripsi puncto post αἰτεῖ (s) deleto et post παρασχεῖν posito τὸν τούτου Ω s τῷ A s τὸ B om. C παρασχεῖν BC s παρασχὼν A 4 δ' C 5 αἰτίας om. B καὶ pro τὸ o, quo reiecto κρατίστων δὲ ἔργων legendum putauit Addenda p. XIV 5 δύναμις deleui 6 προτέρων BC 7 ἦν A om. BC 8 μετ' B εὖ γ' ετεχνηθέντων B εὐτετεχνηθέντων A τεχνηθέντων C 10 πρῶτον C 11 δὴ o ἡ μαραθῶνι νίκη ἐδυνάμωσε A S ἡ μαραθωνικὴ δύναμις BC s ἡ Μαραθωνικὴ νίκη δύναμις o 13 καὶ om. BC 16 ὁρῶν τις C ὁρῶν τίς B ὁρῶντες A καὶ (ante ποδῶν) Boissonadius ad Eunapium p. 565 κἂν Ω s ὅλον s „repone ὅλου" (Ω) S 19 τὴν scripsi τὸν Ω s τῷ om. C στενῷ, ν ex αρ correcto B[1] 20 ἰσοστασίους ex ἰσοσταδίους B[1] 21 κυρίους τοὺς om. C ἐπιβάντας C

φοβερὰν ἐπιφέροντας ἐκ τῆς τῶν συνειλημμένων
Ἑλλήνων ἁρπαγῆς· καὶ Κυναίγειρος μὲν ἴσως καὶ 32
ζήλῳ τῷ πρὸς Καλλίμαχον καὶ φιλοτιμίᾳ, Καλλίμα-
χος δὲ οὐχ ὑπ' ἄλλου παρωξυμμένος οὐδὲ πρὸς ἕτε-
ρον φιλοτιμούμενος ἀλλ' αὐθαιρέτῳ σπουδῇ. καὶ
Καλλίμαχος μὲν ἀρετῆς παράδειγμα, Κυναίγειρος δὲ
Καλλιμάχου μίμημα, ὁ μὲν τὴν χεῖρα μόνην, ὁ δὲ
ὅλα τὰ μέρη τοῦ σώματος· πᾶσι γὰρ μεμάχηται καὶ
τοῦ πολέμου πάντα μείζονα. καὶ ὁ μὲν μιᾷ τῶν
ἀναγομένων ἐπεχείρησε νηί, ὁ δὲ πρὸς πάνθ' ὁμοῦ
τὰ βασιλέως ἔθνη παρετάξατο. ὁ μὲν ἀνόητον ὅλως 33
τὴν ἐπιβολὴν ἐποιήσατο· ἡ γὰρ ἐλπὶς αὐτῷ τῆς
τόλμης ἀδύνατος ἦν. πῶς γὰρ χειρὶ νῆα ἐλάβετο;
τίς δὲ ἂν ἐγένετο τοσοῦτος τῇ δεξιᾷ ὥστε, εἰ μὲν
ἠγνόησε κατασχεῖν οὐ δυνησόμενος, ἀλλὰ προσεδό-
κησε βιάσασθαι τριήρη δακτύλοις; ἠλίθιον τὸ τόλ-
μημα. εἰ δ' εἶδεν ὡς τὸ τῆς πείρας ἀδύνατον, ἀλλ' ὡς
ἐν τοῖς ἀμηχάνοις τόλμα κυρεῖ, ἀλαζὼν ἡ προσ-
ποίησις ἦν. καὶ οὐκ ἀσφαλὴς οὐδὲ ἀναγκαία ἡ
ἐπίδειξις τοῦ ἀπόρου σχήματος καὶ ματαία ἡ σκέψις
διότι οὔτε ἀλαζὼν οὔτε ἀνόητος ἀρετή, οἷοι δὴ καὶ
τυφλοὶ πόνοι πάντες οἱ περὶ τὰς ἀδυνάτους ἐπιθυ-
μίας. χρὴ δὲ ὁρᾶν οὐδὲν πρότερον οὔτε τέχνην 34
ἔργοις ἐπιτιθεμένην οὐδὲ ἀρετὴν λόγοις ἀπειργασμέ-
14 νην ὡς τέλος τῆς ἐπιχειρήσεως εἰ δύνατον ἔτι καὶ

4 δ' C παροξυνόμενος C 8 γὰρ om. C 11 βα-
σίλεια C 14 δ' C 15 οὐ δυνησόμενος Ω s „in altero
omittitur negatio" S προσεδόκησεν A 16 δακτύλω C
17 εἶδεν A B οἶδεν C s ᾔδει i ἄλλως A B 18 κυρεῖ
scripsi κρατεῖ Ω s 20 σκῆψις C 21 ἡ ἀρετὴ C οἷοι δὴ
καὶ scripsi cf. p. 29, 5 οἷοι δὲ καὶ Ω s ἄνοοι δὲ καὶ ο οἷοι
δὴ οἱ i 22 πάντες πόνοι C 24 ἐπιτιθεμένην Ω S ἐπι-
φερομένην s οὔτε — οὐδὲ scripsi οὐδὲ — οὔτε (οὔτ'
B C) Ω s ἀπειργασμένην scripsi ἀπειργομένην Ω s

ληπτὸν τῇ φύσει καὶ δυναμένῳ καὶ πειρωμένῳ ἀν-
δρί. ἡ δὲ ναῦς ὅλη, μεστὴ πληρώματος καὶ τοσαύτης
εἰρεσίας συγκεκροτημένης, πῶς ἦν ἐπιλήψιμος, πῶς
ἀγώγιμος τοσούτῳ ὄγκῳ τῆς ἐλπίδος καὶ τῇ προσ-
35 *βολῇ τοῦ τολμήματος; *μὴ τήν τινος μανικοῦ σχή-*
ματος τὸ ἄπορον τῆς ἐπιθυμίας καὶ τὸ μάταιον τῆς
προσβολῆς ἄφρον καὶ ἀπέραντον ἢ ἀνδρὸς οὐ*
βουλομένου ναῦν λαβεῖν ἀλλ' ἀπολῦσαι. οὔκουν
ἀρετὴν ἔτι τὴν ἀνόητον τόλμαν νοητέον ἀλλὰ μα-
36 *νίαν τὴν ἄχρηστον αὐθάδειαν. εἴποι δὲ ἄν τις εὖ*
φρονῶν αὐτῷ· „τί ταῦτα μωραίνεις, Κυναίγειρε, τί
δ' ἐπιχειρεῖς ναῦν κατασχεῖν ἀνθρωπίνῃ δεξιᾷ; τὸ
τόλμημά σου φύσιν οὐκ ἔχει. τίς τοῦτο Γλαῦκος
πόντιος, τίς Τρίτων ἐποίησε; μόνον δύναται μειρά-
κιον ναῦν ἐπαγαγεῖν ἢ [Ποσειδῶνος] δεξιὰ ἀνέμοις
ἁμιλλᾶσθαι; πάρισος τίς εἶς τοσούτῳ πληρώματι;
συναπάξει σε ἡ ναῦς πλέουσα, λήσεις πρύμνης ἐξηρ-
37 *τημένος, αἰχμάλωτος ἀκροστολίου γενόμενος." γεγό-*
νασιν ἐπὶ ναυσὶ μάχαι καὶ πολλαί· τοιαύτην καὶ

3 *συγκεκροτημένη* dubitanter *o* 4 *ὄγκω* Ω *S* *ὄκνῳ s* *προβολῇ* B 5 *τολμήματος· μὴ τὴν τινὸς* A *τολμήματος· ἢ τολμητὴν τινὸς* B *τολμήματος· ἢ μὴ τὴν τινὸς* C *s* 6 *ἄπορον* A *S* *ἄπειρον* B C *s* *τὸ ἄπ. τῆς ἐπιθυμίας* Ω *τῆς ἐπιθυμίας τὸ ἄπ. s* 7 *ἢ* Ω *εἰ s* 8 *βολομένου* C *ἀπολύσαι* Ω *ἀπολλύσαι s* *ἀπολέσθαι i* huiusmodi quid scriptum fuisse opinatur *i*: *ἢ ὁρμὴ ἦν τινος μανικοῦ λήματος τὸ τῆς ἐπιθυμίας ἄπορον, καὶ [τῆς πείρας] τὸ μάταιον, καὶ τῆς προσβολῆς ἄφρον καὶ ἀπέραντον· ἢ ἀνδρὸς — ἀπολέσθαι* Equidem locum sic restituo: *ἢ μήν τινος μανικοῦ τοῦ σχήματος τὸ ἄπορον* (cf. p. 27, 20) *καὶ τῆς ἐπιθυμίας τὸ μάταιον καὶ τῆς προσβολῆς τὸ ἄφρον καὶ ἀπέραντον, ἢ ἀνδρὸς — ἀπολῦσαι* 10 *δ'* C 12 *δὲ* B C *κατέχειν* B C 14 *μόνον* Ω *ς* *μῶν i* *μειράκιον*] *ον* add. C[2] 15 *ἀπαγαγεῖν* C *ποσειδῶνος* Ω *s* quod deleui *παιδὸς i* *δεξιὰ* AB *δεξιᾶ* C 16 *ἁμιλᾶται* C *πάρισος τίς εἷς* scripsi cf. p. 15, 14 *περινοστήσεις* A C *s* *περινοστήσας* B 18 *ἀκροστόλου* C 19 *τοιαύτας* B C *καὶ* om. B C

Ὅμηρος διηγήσατο· οὐδέ γε εἷλκέ τις ἐκείνας, ἀλλὰ πῦρ ἐνέβαλε, δᾷδας ἐκόμιζεν. αὕτη μόνη κατέχει ναῦν ἡ λαβή. ὁ δὲ σός, ὦ Εὐφορίων, υἱὸς μειράκιον τολμηρὸν ἦν καὶ τοῦ μὲν σώματος κατεφρόνει, μάχεσθαι δὲ εὐβούλως οὐκ ἠπίστατο, οἵαν ἀπώλεσεν
εἰκῇ δεξιάν. διὰ ταῦτα Καλλίμαχος μὲν ἁπάντων 38
ἔτυχεν ὧν ἠθέλησε, πολλοὺς δὲ ἀφώπλισε, πάντας δὲ ἐφόβησεν, ἐφύλαξε δὲ τὴν στάσιν καὶ τεθνεώς·
ὁ δὲ σὸς υἱὸς ὧδε τὴν ἐπίνοιαν ἐκαρπώσατο. καὶ 39
Καλλίμαχον μὲν οὐχ εἷς ἀπέκτεινεν, ἀλλὰ κοινὸν ἔργον τῆς Ἀσίας ἐγένετο· πάντα μὲν δόρατα ἐπὶ τοῦτον ἦλθε καὶ ψαῦσαι Καλλιμάχου φιλοτιμούμενα, πάντα δὲ ἀκόντια, πᾶσαι δὲ ἐκενώθησαν φαρέτραι βελῶν, ἅπαντα δὲ τοξεύματα περὶ τοῦτον ἔστη μαρτυρούμενα τὴν κοινωνίαν καὶ πάντα ἀμφισβητοῦντα περὶ τοῦ νεκροῦ· Κυναιγείρου δὲ τὴν χεῖρα ταύτην
ἀπέκοψαν ὥσπερ ξύλον. Καλλιμάχου μὲν οὖν ἡ 40
τόλμα καὶ μάχη τοῦτο ἐβούλετο, νικῆσαι τὸν βασιλέως στρατὸν καὶ τὴν Ἀττικὴν αὐτοῖς ἄβατον εἶναι· Κυναίγειρος δὲ καὶ φεύγοντας ἡμῖν τοὺς βαρβάρους ἀνεῖργε καὶ κατεῖχεν ἐν τῇ χώρᾳ τοὺς πολεμίους καὶ μάχης ἔπραττεν ἀρχὰς δευτέρας. τί ποτε ἂν ἐποίησεν ἄλλο βασιλεὺς παρών; τοῖς φεύγουσιν ἂν ἐβόα καὶ τὰς Φοινίσσας ναῦς ἐκράτει. . . . .

1 εἷλκέν A 2 ἐνέβαλλε B C 3 ὦ om. B τολμηρὸν μειράκιον C 5 δ' C 6 ἁπάντων om. C 7 ἐτύγχανεν B C 9 δὲ om. B 10 οὐχ εἷς Schaefer ad Gregor. Cor. *de dialect.* p. 56 οὐδεὶς Ω s 12 ἦλθεν A καὶ om. C ψαῦσαι καὶ A B s quod correxi cf. p. 20, 11 13 δ' altero loco C 16 κυναίγειρος C 17 ἀπέκοψαν s ἀπέκοψεν Ω 18 τόλμη C 20 καὶ om. BC ἡμῖν Ω ὑμῖν s ὑμᾶς mauult O 21 ἀνεῖργε B ἀνείργει coniecerat i ἀναιρεῖ A C s 22 ἀρχὴν C 23 φεύγον . . . A ἂν ἐβόα i ἀνεβόα Ω ς 24 lacunam indicaui J. Conr. Orellium secutus, uid. ad p. 30, 7.

„ἄφες ἄφες, Κυναίγειρε, μὴ λαμβάνου. μενοῦσιν ἂν
41 λαμβάνῃς, πάλιν εὑρήσουσιν ἄλλας ἀποβάσεις. μὴ κράτει ναῦν ὑπὸ Πανὸς δεδιωγμένην μηδ' ἔχου τριήρους σὺ παρ' Ἀθηνᾶς *ἀφεψαλωμένης.* ἀφίησιν αὐτὴν ἡ Δημήτηρ καὶ Κόρη· φευγέτω. πάρεστι Θησεύς, πάρεστιν Ἡρακλῆς· ἀλλ' οὐ κατέχουσι τὴν ναῦν ὅτι μὴ συμφέρει. ἔχω καὶ πνεύματα συγγενῆ μᾶλλον σοῦ κατασχεῖν δυνάμενα· ἀλλὰ τὰ μὲν ἐκπέμπει τὸν πόλεμον ἐκ τῆς Ἀττικῆς διὰ τὴν εὔνοιαν τὴν πρὸς ἡμᾶς, σὺ δέ, ὦ Κυναίγειρε, ναύσταθμον Μηδικὸν τὸν Μαραθῶνα ποιεῖς. ὦ Κυναίγειρε, τὴν ναυμαχίαν νικήσει βασιλεύς· τῆς μάχης μόνῳ Κυναιγείρῳ εἴσεται χάριν. ἄπορον ποιῶν αὐτοῦ τὴν φυγὴν ἀναγ-
42 καίαν αὐτῷ τὴν νίκην εἰργάζου." ἀλλὰ γὰρ οὐχ [μετὰ τῆς χειρὸς] ὡς (μετὰ) διανοίας ἡμᾶς ἔβλαπτε — τἀληθῆ γὰρ εἰρήσεται — ἀλλὰ ἄλλως ἐμαίνετο καὶ τὸν Καλλιμάχου νεκρὸν ὁρῶν εὐδοκιμοῦντα ἐπεθύμει μετὰ ἄλλου σχήματος ἀπολέσαι τὴν ἀλαζόνα δεξιὰν ὅπως ἂν ἓν γένηται τῶν Μαραθωνίων διηγημάτων· ἡμεῖς δὲ οὔθ' ἑκόντες οὔτε ἄκοντες

1 *μενοῦσιν* s *μένουσιν* Ω 2 *λάβης* C *εὑρήσουσιν* scripsi *εὔρουσιν* (sic) A *εὔρουσιν* B *εὔρωσιν* C *εὑροῦσιν* s „non placet *εὑροῦσιν* pro *εὑρήσουσιν*" S 4 *ἀφεψαλωμένης* A B s *ἐφεψαλωμένης* C et sic Matthaei *Glossaria Gr. minora* vol. I p. 14 n. 23 *ἀφεψάλου ἀφιεμένης* dubitanter υ *οὐ φεψαλωμένης* i *ἀπεψαλμένης* fuisse credo 5 *φευγέτω* Ω S *φεύγουσαν* s |6 *θυσεὺς* C 7 „non apparet, quisnam loquatur, nisi forte Orellius verum vidit, qui §. 40. ante *ἄφες* excidisse suspicatur verba: *τί δ' ἂν εἶπε* [*εἴποι*] *καὶ ἡ πατρίς*; Sed hoc quum incertum sit, aliud etiam tentare licet ut legatur: *ἔχει ἡ γῆ πνεύματα συγγενῆ.*" i 8 *σοῦ* non *σου* Ω 10 *ὑμᾶς* mauult o 11 *εἰ* pro *ὦ* i 12 *νικήσαι* C *τὴν μάχην* A 13 *αὐτοῦ ποιῶν* B C *ἀναγκαῖον* B 14 *εἰργάζου* scripsi *εἰργάζετο* Ω s 15 uerba *μετὰ τῆςχ ειρὸς* deleui, *οὐχ* pro *οὐ* scripsi, *μετὰ* post *ὡς* restitui *δι' ἀνοίας* B 18 *μετὰ ἄλλου* Ω *μετὰ τοῦ ἄλλου* s *μετά του ἄλλου* i 20 *οὔτ'* altero loco C

οὐδὲν ἐβλάπτομεν. εἰ μὲν δὴ πάντες ὅμοιοι Καλλι- 43
μάχῳ κατ' ἐκείνην ἐγένοντο τὴν ἡμέραν, οὐδεὶς ἂν
ἐλείφθη τῶν βαρβάρων καὶ πάσας τὰς ναῦς ἂν
αὐτῶν κενὰς εἵλομεν· εἰ δέ γε εἶδον εἰς τὰς Κυναι-
γείρου λαβάς, ἄκοντες ἂν πάντες οἱ βάρβαροι τὴν
ἧτταν ἀνεμαχέσαντο. Κυναίγειρος μὲν οὖν οὔτε θάρ-
ρος φίλοις οὔτε δέος τοῖς πολεμίοις ἐγένετο, ὃς
δράσας οὐδὲν ἀλλὰ ἀποτμηθεὶς τὴν χεῖρα ἔπεσεν
εὐθὺς ὥσπερ ἑτέραν οὐκ ἔχων ἀλλ' ἐν τῇ δεξιᾷ τῆς
ψυχῆς αὐτῷ κειμένης· τὸν δ' ἐμὸν παῖδα οἱ φίλοι
μὲν ὁρῶντες ἐν τῇ τάξει μένοντα πάντες ἥδοντο,
τρέσαντες δὲ ὑπεχώρουν οἱ βάρβαροι. καὶ τὸ σύμ-
παν, ὁ μὲν ἔπεσεν, ὁ δὲ οὔ. ἀθλητὰς δ' εἶναι τοὺς 44
στρατιώτας ὑπολαβόντες πότερον στεφανώσομεν, τὸν
ὀρθὸν ἢ τὸν κείμενον, τὸν ἑστηκότα ἢ τὸν ἐρριμμέ-
νον; οὐ παύσῃ παραβάλλων ἀνδρὶ χεῖρα καὶ τραῦμα
ἓν μυρίοις καὶ τὸν λειποτακτήσαντα τῷ μακροβίῳ
νεκρῷ καὶ τὸν ἠκρωτηριασμένον τῷ μέχρι νῦν ὁλο-
κλήρῳ; ὁ μὲν ἀφῆκε τὴν ναῦν, ὁ δὲ ἐκράτει τῆς
ἀσπίδος. λέγε νῦν καὶ τραγῴδει πολλάκις· καὶ γὰρ 45
16 Αἰσχύλου πατὴρ εἶ καὶ τὴν χεῖρα ὅρος ἐποίεις. „ἐκ
γῆς ἐναυμάχει"· Δᾶτις δ' ἐκ θαλάττης ἐπεξομάχει.
„κατέσχε τὴν ναῦν"· καλῳδίου τὸ ἔργον· ἄγκυρα
τοῦτο κρεῖττον ποιεῖ. ὁ μὲν ἐλάβετο, ὁ δ' ἀπέκοψε.
„κατέσχε τοὺς πλέοντας"· οἱ δὲ καὶ ὅμως ἐξέπλευσαν.
ἄνδρες Ἀθηναῖοι, περιελθόντες τὸ στρατόπεδον τοὺς 46
μὲν εὑρήσετε χειρῶν ἄνευ, τοὺς δὲ ποδῶν, ἑτέρων

3 ἂν om. C 5 ἄκοντες ἂν πάντες (ἅπαντες s) Ω s ἅπαντες, ἄκοντες αν i 6 ἀνεμαχέσαντο Ω S ἀνεκαλέσαντο s 8 ἀλλ' B C 13 δ' ante οὔ C δὲ ante εἶναι B 15 ἐρριμένον C 20 τραγωδίαν C 21 εἶ om. C 22 ἐναυμάχει scripsi ἐναυμάχεις Ω s δὲ B C θαλάσσης B C 23 ναῦν; mauult s 25 πλέοντας; mauult s

μὲν οὗς, ἑτέρων δὲ κεφαλὰς ἀποτετμημένας τῶν ἄλλων σωμάτων· πολλοὺς ὁμοίους ὄψεσθε Κυναιγείρῳ νεκρούς, Καλλιμάχῳ δὲ οὐδένα. τίς γὰρ σοὶ ἰσοστάσιος νεκρός; τίς γὰρ πιστὸς οὕτω στρατιώτης
47 εἰς μάχην; νῦν σε μᾶλλον, ὦ Καλλίμαχε τέκνον, ἐθαύμασα Κυναιγείρου πεσόντος ὑπὸ πληγῆς μιᾶς, ὦ πολλὰ τοιαῦτα λαβὼν τραύματα καὶ μὴ κεκινημένε. οὐδεὶς σὲ Περσῶν διελὼν ἄπεισιν ὡς τῶν λοιπῶν ἀνθρώπων τὰ σώματα οὐκ ἀκινάκῃ Μηδικῷ, οὐ κοπίδι Περσικῇ, οὐκ αἰχμῇ Βαβυλωνίᾳ, οὐ πελέκει Φοινικίῳ. ὦ μόνε τῶν ἀποθανόντων οὐ πεσὼν καὶ μόνε μὴ ζῆν ἀπιστούμενε ἔστης μαρτυρούμενος τὴν νίκην τῷ σχήματι καὶ τῆς ψυχῆς ἀπελθούσης ὅμοιος
48 ἦσθα τῷ μαχομένῳ. ὦ τοῦ μεγάλου θαύματος· νῦν πρῶτον ἀθάνατος ὤφθη νεκρός. ὦ παῖ, μάντευμα ἄρα σοῦ τοῦ κάλλους καὶ τῆς μάχης καὶ τοὔνομα ἦν. ἀνακάλει νῦν πολλὰ τὸν Κυναίγειρον ᾧ καὶ τὸ συμβὰν ὄνομα ἄδηλον [εἶναι] τῷ ἐρευνᾶν βουλομένῳ.
49 ὁ σὸς πάρεργον τοῖς βαρβάροις ἐγένετο, ὁ δὲ ἐμὸς υἱὸς δι᾽ ἀρετῆς περιουσίαν καὶ τῆς μάχης ὅλης ἐκράτησε καὶ τῆς νῦν τελουμένης τιμῆς γέγονεν αἴτιος. τῶν γὰρ ἄλλων πολεμάρχων δειλίαν ἐντιθεμένων τῷ πλήθει ἡ τούτου ψῆφος προσγενομένη τὴν ὅλην συμβολὴν ἐποίησε καὶ ὅπως δεῖ ἀπομάχεσθαι καὶ

2 πολλοὺς δὲ B ὁμοίως B 3 γρ. σοι S (Ω) om. s 7 κεκινημένος C 11 φοινικῷ s „malim φοινικίῳ ut in altero codice" S (Ω) 12 μὴ om. C ζῆν ἀπιστούμενε scripsi cf. p. 20, 10; 35, 3 ζηλούμενε Ω s 15 πρῶτος C 16 σου om. B C 17 ἀνακάλει — κυναίγειρον om. B C ᾧ A B ὡς C 18 ὄνομα ἄδηλον scripsi ἄδηλον εἶναι ὄνομα Ω s ᾧ καὶ τὸ συμβὰν ἄδηλον εἶναι ὄνομα τῷ ἐρευνᾶν βουλομένῳ, ὃς . . . . ἐγένετο. ὁ s ᾧ καὶ τὸ συμβὰν ἄδηλον ὄνομα (uel uerbis transpositis: τὸ συμβὰν ὄνομα ἄδηλον) φανεῖται τῷ ἐρευνᾶν βουλομένῳ, ὃς . . . . ἐγένετο. ὁ i 19 ὁ σὸς B C ὃς A δ᾽ C 22 τιθεμένων B 24 ἐποίησεν A

τολμᾶν ἐκύρωσεν ὥστε παντὸς ἂν καὶ μόνος καὶ μάλιστα τοῦ κατορθώματος αἴτιος νομίζοιτο. καὶ 50 τοῦτο μὲν αὐτῷ πρὸς πάντας ἐστίν, πρὸς δὲ τὸν Κυναίγειρον καὶ μάλιστα. τῷ ἑνὶ γὰρ τούτῳ σε καὶ ἀνανταγωνίστῳ νικήσομεν ἐρωτήματι. Κυναίγειρος θαυμαστὸς καὶ τολμηρὸς ἦν ἀνήρ· οὐ μέχρι τοῦ βίου; οὐ μέχρι τῆς ψυχῆς; ἀλλ' ὡμολόγησε θάνατον καὶ τῷ κοινῷ τῆς φύσεως ἡττήθη νόμῳ. Καλλιμάχου δὲ ἡ ἀρετὴ ἀόριστός ἐστι καὶ φύσεως περιττοτέρα μόνη καὶ τὴν ψυχὴν ὑπερβαίνει. ἀγαθοὺς μὲν στρατιώτας πολλοὺς εὕροις [Μακεδόνας], Καλλίμαχον δὲ μόνον ἀνείκαστον τὸν ἐν τῷ βίῳ [μόνον] μεμαχημένον, τὸν μηδὲ ἐν τῷ θανάτῳ καμόντα ἀλλὰ καὶ μετὰ τὸν βίον ἄνδρα ἀγαθὸν γενόμενον καὶ τοὺς κοινοὺς τῆς φύσεως καὶ ἀρετῆς παρελθόντα ὅρους.

17 ὦ καὶ καλλίμαχε καὶ καλλίνικε, ἄτρωτε καὶ πολύτρωτε, πῶς σε ἄν τις ἐπαινέσειε κατὰ τὴν ἀξίαν; οὐ γὰρ Αἰσχύλου καὶ τοιούτων ποιητῶν καὶ ῥητόρων ἄξιος ἀλλά τινος Ὁμήρου τραγῳδίας [ἢ τραγικῆς φωνῆς]. ὦ κοινὲ τῆς Ἀσίας σκοπέ· ὦ σκυλεύσας τῷ θανάτῳ τὴν στρατιὰν βασιλέως καὶ πλεῖστα λάφυρα τῶν βαρβάρων τὰ βέλη κατασχών· ὦ σεμνὸν ἀνάθημα

3 ἐστί B C 7 ὡμολόγησεν A 9 ἄριστός A B φυσει B 10 μόνη Ω s μονὴ dubitanter o 11 εὕρῃς B Μακεδόνας deleu. i 12 μόνον ἀνείκαστον τὸν ἐν τῶ βίω μόνον μεμαχημένον Ω nisi quod μὲν post τὸν inserit C[1] ἀνείκαστον τῶν ἐν τῷ βίῳ μόνον μεμαχημένον s qui pro ἀνείκαστον ἀνίκητον legendum esse suspicatur. alterum μόνον deleui 13 μεμαχημένων o probat i cui post ἀνείκαστον καὶ inserendum uidetur 13 τὸν δὲ C μὴδὲ ἐν A B μηδὲν s „repono μηδ' ἕν" S μὴ ἐν C 15 προελθόντα A 16 καὶ καλλίμαχε A καλλίμαχε B C 17 ἐπαινέσειεν A 18 τοιούτου ποιητοῦ καὶ ῥήτορος C (δ supra) 19 τραγωδίας ω τραγω ℬ'. in mrg. G[1] τραγικοῦ G γικῆς — σκοπὲ in lit. B[1] ἢ τραγικῆς φωνῆς deleui 22 ἀνάθεμα A

52 πολέμου· ὦ καλὸν Ἄρεως ἄγαλμα· ὦ πολέμαρχε
πολεμάρχου θεοῦ δεινὸν εἴδωλον τῆς Ἀσίας τὰ το-
ξεύματα περιβεβλημένον· ὦ μόνος ἐνδὺς τὴν τοῦ
πολέμου στολήν· ὦ σχῆμα ἐλευθέριον, ὦ σχῆμα
Μαραθώνιον· ὦ μὴ κλίνας τὴν Ἑλλάδα· ὦ τῆς
φύσεως περισσότερε· ὦ δύο μεγάλας μάχας Δαρείῳ
καὶ θανάτῳ μεμαχημένε· ὦ κοινὸν καὶ ζώντων καὶ
νεκρῶν κατόρθωμα· ὦ μὴ μετὰ ζωῆς τὴν ἀρετὴν
53 ἀφείς· ὦ φρόνημα πλέον τοῦ βίου· ὦ νεκρὲ ζώντων
μαχιμώτερε. εἶχεν ἄρα ψυχὴν ἀριστὴν νεκρὸς καὶ
δευτέραν καὶ μεγίστην διὰ τῆς ἰδίας δυνάμεως πο-
λεμοῦσαν καὶ ἀγωνιζομένην. ὦ πρῶτος ἡμῖν δείξας
ἀνθρώπων νεκροῦ μάχην· ὦ θανάτῳ τοὺς πρὸς βίον
τρέχοντας ἕλκων ἐπὶ διαδικασίαν. τὰ μὲν γὰρ ἄλλα
πάντα ἔπραξεν ὁ Καλλίμαχος, τῷ πολέμῳ δὲ θνή-
σκων ὡς στρατιώτης πατρίδος ὑπερμαχῶν ἀθάνατον
τὸ σῶμα μετὰ τοῦ σχήματος ἔστησεν· ἔμεινε γὰρ ὡς
54 ὡμολόγησε τῇ ψυχῇ. ὦ μεγάλη στάσις· ὦ τῇ γῇ
σύμψυχε· ὦ ῥίζας ἐξ ἀρετῆς βαλλόμενος· ὦ φυτὸν
Μαραθώνιον. ὦ δήμων βεβαιότερε καὶ νήσων λαμ-
πρότερε· τοῖς βαρβάροις μὲν Ἐρέτρια ἡρπασμένη
πλεῖ καὶ Νάξος αὔτανδρος ἐν ταῖς ναυσὶν ἐτέθη,
Καλλίμαχος δὲ ἀκίνητός ἐστι, τῶν ὀρῶν στασιμώτε-
ρος καὶ τῶν σκοπέλων βεβαιότερος. καὶ γῆ μὲν
ἐσείσθη πολλάκις καὶ νήσους ὅλας εἶδον ἄνθρωποι
φερομένας, τὸν δὲ ἕνα νεκρὸν ὁ τοσοῦτος οὐ διέσεισε
55 πόλεμος. ὦ τεῖχος ἀρετῆς Ἀττικῆς· ὦ μέγιστον τῶν

1 ἄρεος B C ἄγαλμα Ω s „$\overset{\text{αι′}}{\text{γρ}}$ et ἀνάθημα" S 2 ἀξίας B 4 στολή (ν charta deleta euanuit) A ἐλευθερίου B 8 ζωῆς scripsi ζώντων Ω s 10 ἀρετὴν A 12 ἀνθρώπων δείξας ἡμῖν C 17 ἔμεινεν — ὡμολόγησεν A 19 βαλλόμενε C 20 δόμων B 21 ἐρέτρια B ἐρετρία C ἐνέτρεια A 26 διέσεισεν A 27 ἀττικῆς ἀρετῆς B C

*Μαραθωνίων θαυμάτων καὶ θειότατον· ὦ τῶν ἐκεῖ
φασμάτων ἐξαίρετον. ἔστη νεκρὸς εὐσχήμων ἐν τῇ
πρώτῃ στάσει, νεκρὸς τὸν θάνατον ἀπιστούμενος,
αἰσχυνόμενος πεσεῖν, καὶ γέγονεν ἔμψυχος καὶ τε-
θνεὼς ὤν. ὦ βλέπων καὶ μιμούμενος τῆς ψυχῆς τὴν
ὁδόν. ἐγὼ καὶ τὴν ψυχὴν ἔκ τ' ἀφανοῦς οἶμαι τότε* 56
*συμμάχεσθαι καὶ παροῦσαν ἐγγυᾶσθαι ἀνέχειν τὸ
σῶμα. ὦ μεγάλῳ φάσματι κεκοσμημένε. τοῦτ' εἶδε*
18 *Πολύζηλος, ἐκεῖνο τὸ θαῦμα Καλλίμαχος ἦν. ἦν μὲν
γὰρ καὶ ζῶν ἔτι δεινὸς τοῖς πολεμίοις καὶ ἀκόρεστος
μάχης ἕστηκε βοῶν· „ὦ Δαρείου δοῦλοι βάρβαροι,
οὐ Σκύθαι ταῦτα οὐδὲ (Ἴστρος) ποταμὸς οὐδὲ πλά-
νης ὅμιλος οὐδὲ ἅμαξαι *ζηλούμεναι* ἀλλ' Ἀττική
[καὶ Πελοπιδῶν]· ἐν ταύτῃ ἕστηκα καὶ περιμένω τίς
πρῶτος ἀπόλλυται. καὶ πολλὰ βαλλόμενος καὶ το-
ξευόμενος ὥς τισιν ἄνθεσι στεφανούμενος λέγω·
βάλλετε καὶ μὴ φείδεσθε. τί δ' οὐ βάλλετε; ἐγὼ
δέομαι βελῶν, ἐπεὶ χωρεῖ τὸ σῶμα τόπον ὑγιῆ ἔχον.
τί τοὺς ἀθλίους Ναξίους, τί τοὺς ταλαιπώρους Ἐρε-
τριεῖς περιέστητε; ἐμοί, ἐμοὶ τὸ τοῦ πολέμου δί-
κτυον περιτείνατε. τίς Δάτις, τίς Ἀρταφέρνης; ἰδού,
ὦ πάντες, ἐγὼ ἕτοιμος. θυέτω μέ τις, εἰ δύναται·
βασιλεὺς σαγηνευσάτω, εἰ ἔξεστιν." ἐπεὶ δὲ πᾶς* 57

5 *καὶ μιμούμενος* scripsi *ἢ μιμούμενος Ω ὦ μιμούμενος s* 8 *τοῦτ' εἶδε i τουτὶ δὲ Ω s* 10 *τοῖς* om. B C 11 *ἕστηκεν* A *βοηθῶν* C 12 *Ἴστρος* addidi Possinum secutus 13 *ζηλούμεναι* A B *s ζητούμεναι* C an *ἐξαλεόμεναι*? 14 *καὶ πελοπιδῶν* A B *s* quod deleui *καὶ πελοπίδαι* C *καὶ Πέλοπος χθὼν p καὶ ἡ Πελοπιδῶν i ἐνταῦθα* C 15 *πρῶτον* C *ἀπόλυται* A 18 *ἐπεὶ Ω s ἔτι· ἔτι i* „Gravior etiam foret (oratio) verbis sic scriptis: *ἐγὼ δέομαι βελῶν ἔτι· βελῶν ἔτι χωρεῖ τὸ σῶμα*" idem *ὑγιὲσ* A 20 *περιέστητε; ἐμοί, ἐμοὶ* scripsi *ἐμοὶ (ἐμὲ* B) *περίστητε ἐμοὶ Ω s* 21 *Ἀρταφέρνης ο ἰνταφέρνης* A *s τισαφέρνης* B *τισσαφέρνης* C 23 *βασιλεῖ* C

ἀνὴρ ὅλα τὰ βέλη ἐπ' αὐτῷ ἔπηξεν, ἔχαιρε λέγων
πρὸς ἑαυτόν· „τὴν Ἀσίαν ἀπεδύσαμεν" καὶ τοῖς
συστρατιώταις παρήγγελλεν· „παίετε κατακεντοῦντες
αὐτοὺς καὶ μὴ φείδεσθε· οὐκέτι γὰρ ἔχουσι βέλη.
58 γυμνοὺς ὑμῖν αὐτοὺς ἐποίησα." οἱ δὲ βάρβαροι
πάντες ἐπειρῶντο μὲν καὶ πᾶς ἔβαλλεν, κινῆσαι δὲ
οὐδεὶς ἠδύνατο οὐδὲ καθελεῖν τὸν ἄνδρα πεπηγότα
οἱ τὰ μεγάλα καθελόντες ποτὲ χώματα, οἱ βιασάμε-
νοι τὸν Βόσπορον ἄγαν ὄντα ῥοώδη καὶ Σκυθικὴν
θάλασσαν· ἀλλὰ πᾶς μὲν ἔβαλλε καὶ πᾶς ἐφονεύετο
καὶ τῷ Καλλιμάχῳ προσέπιπτεν *ὃς καθάπερ προ-
νενευκότι λίθῳ πρὸς θάλασσαν* ἐρείσας ἑαυτοῦ τὸ
σῶμα τελευταῖον τοιοῦτον εἶπε τὸν λόγον πρὸς ἑαυ-
59 τόν· „στῆθι, Καλλίμαχε, ἀκίνητος." οἱ δὲ ὥσπερ
τείχει προσβαλόντες καρτερῷ πλέον οὐδὲν ἔδρων·
ἐκρύπτετο γὰρ ὑπὸ τῆς τῶν βελῶν περιβολῆς. ἔνθα
δὴ πολλοὶ μὲν κάμνοντες ὑπὸ τῶν Καλλιμάχου βλη-
μάτων ἀπώλοντο καὶ πολλοὶ παρ' αὐτὸν ἔπιπτον
60 ἑστηκότα· Δάτις δὲ ὁρῶν ὠργίζετο τῷ νεκρῷ καὶ
τοῖς βαρβάροις ἐνεκελεύετο· „οὐ κλινεῖτε, οὐκ ἀναι-
ρήσετε τὸν φιλόνεικον νεκρόν; ἄνθρωπε δαιμόνιε,
μετὰ τοσούτων αἰσχύνῃ πεσεῖν; ἔτι μένεις; ἔτι μάχῃ;
πόσας ἔτι ψυχὰς ἔχεις; οἴμοι νικᾷ νεκρὸς ἡμᾶς
Ἀθηναῖος. ἄνδρες, μηκέτι βάλλετε· ἀποθνήσκοντες

3 συστρατιώταις A C s στρατιώταις B S (ad p. 37, 16) παρήγγελλε B παρήγγελε C κατακενοῦντες B 4 οὐκέτι B C οὐκέτι A 6 ἔβαλλε B C κινῆσαι B C incerta scriptura praeter νῆσαι litteras in A 11 ὃς καθάπερ προνενευκότα λίθον πρὸς θάλασσαν uel ὃς ἐοικὼς προνενευκότι λίθῳ πρὸς θάλασσαν o ὃς καθάπερ προνενευκώς τις λίθος πρὸς θάλασσαν i καθάπερ προνενευκότι λίθῳ θάλασσα ὃς scribendum censeo cf. p. 19, 20; 24, 22 13 τελευτῶν C εἶπεν A τὸν om. B 15 προβαλόντες C 16 περιδρομῆς (βολῆς) superscr. B[1] 18 ἀπώλλοντο B 19 δᾶτις A 20 κλινεῖτε A C s καινεῖτε B κινεῖτε S 23 νεκρὸς ἡμᾶς ἀθηναῖος νικᾷ C

Ἀθηναῖοι γίνονται μαχιμώτεροι. ὦ δέσποτα Δαρεῖε,
τίς σε ἐξηπάτησεν; ἐπ' ἀθανάτους ἡμᾶς ἀνθρώπους
ἔπεμψας πεσεῖν οὐκ εἰδότας. αἱ δοκούμεναι Πέρσαις
καὶ Μήδοις καὶ Μάγοις τέχναι ἀπρακτοῦσιν· Ἀθη-
ναίων γὰρ οἱ νεκροὶ μάχονται παρ' αὐτοῖς καὶ δεξιὰ
19 *νεκροῦ πολεμοῦσα μέρος τῆς μάχης ἐγένετο.» βασι-* 61
λεὺς δὲ ἰδὼν αὐτὸν ὀρθὸν ὅπλοις πολλοῖς περιβε-
βλημένον ἐβόα· „φεύγωμεν, πλέωμεν· ἤδη γὰρ
ἤγειραν Ἀθηναῖοι τρόπαιον.» τοιαῦτα, τέκνον, πα-
ρέσχες τοῖς βαρβάροις δόγματα. ὦ σεμνὸν πολέμου 62
τέρας· ὦ τῶν συμμάχων θεῶν ἄξιον θέαμα. σοὶ μὲν ὁ
Πὰν ἐβοήθησεν, σοὶ δὲ Ἥρα συνεκρότησε καὶ Παλλὰς
ὑπερήσπισεν ὡπλισμένη. περὶ σὲ μὲν ἔστη Ἡρακλῆς,
ἔστη δὲ Θησεὺς σεμνυνόμενοι· σὲ δὲ χρὴ καὶ προτιμᾶ-
σθαι τῶν Μαραθῶνι κειμένων καὶ τὸν πατέρα τὸν σὸν
ἐπὶ σοί τε καὶ τοῖς σοῖς στρατιώταις ἀγορεύειν λόγον
ἁρμόττει. τοίνυν, Εὐφορίων, ἀπελθὼν τὸν σεαυτοῦ 63
νεκρόν, τὸν χαμαί, τὸν ἐν ὄχλῳ νεκρῶν καὶ πεπα-
τημένον, θάπτε καὶ θάπτε τὴν χεῖρα ἣν [τῷ πελέκει
τις ἀπέκοψε τὴν Κυναιγείρου δεξιάν] ὅπλῳ γυναι-

2 *ἀνθρώπους ἡμᾶς* B C 4 *μάγοις*] *μ* ex *π* B¹ 7 *δ' ἂν* „*si praesens in pugna illum uidisset*" *o* at uide p. 11, 14 *ὀρθὸν αὐτὸν* C 8 *φεύγομεν* A 9 *τοῖς βαρβάροις παρέσχες* C 11 *τέρας* Ω *S* *πέρας* *s* *σοὶ* A *s* *σὺ* B C *S* *ὁ Πὰν* *s* *ὁ πᾶν* A *ὦ πὰν* C *S* et, *πὰν* ex *πᾶν* a m¹ correcto, B 12 *ἐβοήθησεν* A *ἐβοήθησε* *s* *ἐβοήθησας* B C *ἐβόησας* *S* *σοὶ* A *s* *σὺ* B C *S* *Ἥρα* Ω *s* *πέρα* *S* *συνεκρότησε* *s* *συνεκρότησεν* A *συνεκρότησας* B C *Παλλὰς* *s* *πολλὰς* A B *πολλῶν* C 13 *ὑπερήσπισεν* A B *s* *ὑπερήσπισας* C *παρὰ* B 14 *σεμνυνόμενος* C 15 *ἐν μ.* C *τὸν σὸν* B C *τὸν ὠν* (sic) A 16 *στρατιώταις* Ω *s* „repono *συστρατιώταις* ut pag. praecedente [36,3] *καὶ τοῖς συστρατιώταις παρήγγελλε*, ubi tamen alterum exemplar *στρατιώταις* habet, ut hic" *S* 17 *ἁρμόττον* C 18 *νεκρῶν* (altero loco) A *νεκρὸν* B om. C *καὶ πεπατημένον* Ω *s* *καὶ πεπατημένων* *o* *καταπεπατημένον* *i*. equidem *κείμενον* uel simile quid ante *καὶ* excidisse putauerim 19 *θάπτε* priore loco om. A *τῷ — δεξιάν* deleui 20 *γυναικείῳ* *i*

*κῶν τις ἔτεμεν οὐκ αὐτοῦ μὲν ὑπάρχουσαν, ἐκείνου δέ. ἀκροστόλιον γὰρ οὖσαν τῆς νεὼς ἀπέκοψεν αὐτὴν καὶ τῶν ἀπειλητικῶν λήρων ἐπέσχε τὴν γλῶσσαν ὡς οὖσαν τῶν ἄλλων μερῶν ἀκρατεστέραν. αἱ μὲν γὰρ *ἄλλαι δεξιαὶ τῶν στρατιωτῶν* πρὸ τῶν ἱερῶν θυρῶν ἔμειναν ὑπὸ σπάρτων ἐχόμεναι ἐν τῷ*
64 *τῆς λαβῆς σχήματι· ἡ δὲ τῆς πρύμνης ἀπεκρούσθη μηδὲ ξύλου κατασχοῦσα Σιδονίου. σὺ δέ, ὦ τέκνον, καὶ τὴν παλαιὰν δόξαν τοῦ σοῦ πρώτου γένους ἐπιστώσω· αὐτόχθονες μέν ἐσμεν ὡς ἀληθῶς [τρεῖς παῖδες παλαιοί], οὕτως ἀνέσχε Καλλίμαχον ἡ μήτηρ [καὶ τὸν μὲν Ἡρακλέους], γέννημα οὕτω λαμπρὸν*

1 *ἐκείνου δὲ* om. C 2 *γὰρ* A B *δὲ* C et in mrg. A^1 2 *ἀπειλητήρων* *s* „in altero *ἀπειλητικῶν* (*Ω*) quod malo" *S* *ἐπέσχεν* A *γλῶσσαν* A *γλῶσαν* C *γλῶτταν* B 4 *μερῶν* B C *μελῶν* (ς superscr.) superscr. A^1 5 *ἄλλαι — στρατιωτῶν* *Ω* *s* uid. Herodot. VI 91: *ἑπτακοσίους γὰρ δὴ τοῦ δήμου ζωγρήσαντες* (*Αἰγινητέων οἱ παχέες*) *ἐξῆγον ὡς ἀπολέοντες, εἷς δέ τις τούτων ἐκφυγὼν τὰ δεσμὰ καταφεύγει πρὸς πρόθυρα Δήμητρος θεσμοφόρου, ἐπιλαβόμενος δὲ τῶν ἐπισπαστήρων εἴχετο· οἱ δὲ ἐπείτε μιν ἀποσπάσαι οὐκ οἷοί τε ἀπέλκοντες ἐγίνοντο, ἀποκόψαντες αὐτοῦ τὰς χεῖρας ἦγον οὕτω, χεῖρες δὲ ἐκεῖναι ἐμπεφυκυῖαι ἦσαν τοῖσι ἐπισπαστῆρσι.* locum hunc a Polemone respici uidit Jo. Conr. Orellius cui adsentiens Fr. Jacobs *πάλαι — στασιωτῶν* scribendum putauit. equidem in *ἄλλαι* uocem *Αἰγιναῖαι* latere, tum uero uerba *τῶν στασιωτῶν* (ita enim cum Jacobsio corrigendum) ut a scholiasta adposita delenda esse suspicor 6 *σπάρτων* (non *σπαρτῶν*) *Ω* 8 *μηδὲ* i *μήτε* *Ω* *s* *ξύλα* B C *σιδονίου* (*αον* superscr.) superscr. A^1 *τῶν σιδονίων* B *σιδονίων* C 9 *παλαιὰν* A B *πάλαι* ex *παλαὶ* C^2 *πρώτου* om. C *γένους*] lineolam subduxit uel A^1 uel A^2 10 *μὲν ἐσμὲν* B C *ἐσμὲν* A^1 *ἔσμεν* in mrg. A^2 *τρεῖς παῖδες παλαιοί* deleui 12 *ἡρακλέους*, litteris *κλέους* lineola subducta a m^2 deletis, in fine paginae, *κλέως* initio paginae sequentis A *ἡρακλέος* B C in uerbo *ἡρακλέος* desinunt D H I. quae secuntur manus recentior scripsit in A B E F, manus prior in C G *καὶ — Ἡρακλέους* om. *s* *γέννημα* scripsi *γεννάδα* *Ω* *γεννάδαν* *s*

καὶ τόσον ὑπὲρ τῆς πατρίδος σπουδαῖον ὡς ὑπὲρ αὐτῆς προέσθαι τοι ἐπὶ θαύματι τὴν ψυχήν. ἐμὸν τοιγαροῦν, ὦ Εὐφορίων, εἴη τὸ τοῖς ἐπιταφίοις πρῶτον τὸν παῖδα κοσμεῖν καὶ τὸν ἐπινίκιον τραγῳδεῖν. σὺ δὲ τὸν σὸν μεθύστερον θρήνει συγχωρούντων τῶν δικαστῶν.

2 τοι scripsi Ω οἱ delendum censet *S* δὴ *i* 5 τέλος A B ὁ τοῦ καλλιμάχου πατὴρ C

ΕΚ ΤΩΝ
ΚΑΛΛΙΝΙΚΟΥ ΑΔΡΙΑΝΟΥ ΙΑΜΒΛΙΧΟΥ
ΔΙΟΔΩΡΟΥ
ΒΙΒΛΩΝ ΕΚΛΟΓΑΙ

Καλλινίκου εἰς τὰ πάτρια Ῥώμης. pag. 256 Allatii

Οὔτε ἡ καθ' ὑμᾶς γῆ πρὸς ἕτερον οὐδὲν εὐαρμόστως εἶχε πλὴν βασιλείας οὔτε ἡ βασιλεία πρὸς ἄλλο χωρίον οὐδὲν πλὴν ταύτης ἐχώρησεν· ἡ δὲ τῶν φόρων σύνταξις οὔθ' ὑμετέρα πλεονεξία γίγνεται οὔτε τῶν διδόντων ζημία, ἀλλ' εἰς τὸ μάχιμον γένος δαπανωμένη δι' ἐκείνων πάλιν εἰς τοὺς διδόντας ἐπάνεισιν ὥστε δανείσμασι προσεοικέναι τὸ διδόμενον μᾶλλον ἢ φόρων ἀπαγωγῇ. . . . . Ἀλέ- 257 ξανδρος μὲν γὰρ οὐδὲν τῶν περὶ Κλέαρχον σεμνότερον διεπράξατο ἀνδρῶν κρατήσας ἀνανδρίᾳ συντρόφων, ἐκκλίνας τοὺς εἰδότας νικᾶν, πρὸς δὲ Πέρσας ἀγωνισάμενος τοὺς παιδευθέντας ἡττᾶσθαι ταὐτὸν παθὼν τοῖς ὄναρ εὐτυχοῦσιν, ἐν τῇ τῆς εὐτυχίας ἀκμῇ καταλύσας αὐτὴν καὶ τοσοῦτον ἄρξας τὸν ἅπαντα χρόνον ὅσος ὑμῖν οὐκ ἀρκεῖ τὴν ὑμετέραν ἐπελθεῖν. . . . . τοῖς μὲν οὖν πολλοῖς εἴρηται τυφλῶν εἶναι ζημίαν τὸ μὴ τὸν ἥλιον βλέπειν· ἐγὼ δ' ἂν ἐπὶ τῶν θεωμένων φήσαιμι τὴν ἴσην εἶναι ζημίαν εἴ τις μὴ ταύτην θεάσαιτο. καὶ τῶν παρελθόντων εἰς φῶς ὅσοι μὲν ἀπείρατοι τῆς 258 ὑμετέρας ἔμειναν, νόθον τινὰ βίον ὡς εἰπεῖν διαν-

1 *ΚΑΛΛΙΝΙΚΟΥ ΣΟΦΙΣΤΟΥ ἐκ τῶν, εἰς τὰ πάτρια Ῥώμης a* 2 *ἡμᾶς a* 3 *εἶχεν* B *a* 9 *ἐπαγωγῇ a* 16 *ἡμῖν a*

τλοῦσιν, ὅσοι δὲ ἐν πείρᾳ γεγένηνται, γνήσιοι τοῦ βίου μέτοχοι καὶ πλέον τῶν ἑτέρων διαλλάττουσιν ἢ τῶν βεβήλων οἱ τελεσθέντες.

Ἁλοῦσά τις φαρμακείας οὐχ οἵα τε ἦν καυθῆναι· ὑπέσχετό τις γυνὴ καύσειν αὐτὴν καὶ ἔκαυσεν. ἀξιοῖ Ἀδριανὸς ὁ ῥήτωρ καὶ ταύτην καῆναι.

Πρὸς μὲν τὸ λέγειν ὡς οὐ τὰς κεκτημένας τὴν τέχνην ὁ νόμος ἀλλὰ τὰς ἐπὶ κακῷ χρησαμένας ἀπαιτεῖ τιμωρίαν, εὐχερὲς ἀπ' αὐτοῦ ποιήσασθαι τοῦ νόμου τὴν διδασκαλίαν· ὁ γὰρ οὐ τὴν φαρμακεύσασαν εἰπὼν ἀλλὰ τὴν φαρμακίδα καὶ τῇ προσηγορίᾳ
239τῆς τέχνης τὴν τιμωρίαν ὑποθείς, δῆλός ἐστι μισῶν
τὸ δρᾶσαι δύνασθαι. καὶ γὰρ ὅσα μὲν τῶν ἀδικημάτων τόλμης ἔχεται μόνης, ἐκ τοῦ πραχθῆναι διελέγχεται, ὅσα δ' ἐστὶ τέχνης καθάπερ φαρμακεία, ταῦτα καὶ πρὸ τῆς πράξεως ἀπὸ τῆς γνώμης διαβάλλεται. καὶ γὰρ τοὺς τέχνας ἀφ' ὧν ἐστι τὸ δύνασθαι βλάψαι προσλαβεῖν μανθάνοντας ἀπ' αὐτῆς ὑποπτεύειν ἀνάγκη τῆς ἐπιθυμίας. οὐ γὰρ χρὴ τὸ παθεῖν ἀναμείναντας οὕτως ἀμύνασθαι ζητεῖν τοὺς ἐξ ὧν ἔπαθον δρᾶσαι δυνηθέντας ἀλλὰ πρίν τι παθεῖν ὑποπτεύειν τὸ δρᾶσαι δύνασθαι. τί τοίνυν; ὁ
240φαρμακεύς ἐστι λῃστὴς ὡμολογημένος προτείνων τέ-
χνην ἀδικημάτων, ἄσκησις ἐπιβουλῆς, παρανομίας

2 *διαλάττουσι a* 4 *ΑΔΡΙΑΝΟΥ ΤΟΥ ΡΗΤΟΡΟΣ μελέται τινὲς a τις* om. B *a φαρμακίας a οἷά a* 11 *φαρμακεύουσαν a* 16 *δὲ a* 22 *δυνηθέντας* B *a μὴ δυνηθέντας* A

ἐπάγγελμα, ἰσχὺς ἀσεβημάτων. ἐπεὶ καὶ τῶν θηρίων τουτωνὶ τῶν ὁμοτέχνων ὑμῖν, ὦ γύναι, τὰ πολλὰ κολάζομεν οὐδὲν ὑπ' αὐτῶν προαδικηθέντες ἀλλὰ τὴν δύναμιν αὐτῶν μεμισηκότες, ὅτι κἀκείνων τι ἕκαστον ἔχει φάρμακον ἐν τῇ φύσει. καὶ γὰρ εἰ τῷ δυνηθῆναι λαθεῖν οὐ πεφώρασαι περὶ ὧν ἔδρασας, ἀλλ' ὅτι δύνασαι δρᾶσαι πεφωραμένη δώσεις ὡς δράσασα δίκην, εἰ καὶ μέχρι νῦν δεδύνησαι λαθεῖν. καὶ τί δεῖ λέγειν περὶ σοῦ; εἰ μὲν γὰρ ἐμίσεις τὴν τέχνην, οὐκ ἂν ἐμάνθανες· εἰ δὲ ἔχεις τὴν ἐπιστήμην, ἐφθόνεις, οὐκ ἐμίσεις· κολάζει γάρ τις ὃ φεύγει, 241 ζηλοτυπεῖ δὲ ὃ μετ' ἄλλων ἔχει. καὶ γὰρ λῃστὴς ἤδη λῃστὴν ἀπέκτεινεν ὑπὲρ σκύλων ὠργισμένος καὶ τύραννον καθεῖλέ τις μοναρχεῖν ἐθέλων. τοιοῦτόν τι γεγένηται καὶ τὸ νῦν ὑπὸ σοῦ τετολμημένον· μοναρχίαν φαρμακείας οἴει σεαυτῇ διαπεπρᾶχθαι τὴν κοινωνοῦσαν τῆς τέχνης μετακεχειρισμένη.

Μισθοφόροι τὸν ποταμὸν τοῖς πολεμίοις ἐπήγαγον καὶ ἀπαιτοῦσι τὸν μισθὸν παρ' Ἀμφικτύοσι δικαζόμενοι.

Οὐκ ἐπαναλώσαμεν τῷ πολέμῳ χρόνον, ἀλλὰ προσέθεμεν τῇ νίκῃ τάχος· ὑμεῖς δὲ ἀποστερῆσαι 242 τὸν μισθὸν διεγνώκατε τὸ πλεονέκτημα τῆς εὐτυχίας ἔγκλημα ποιούμενοι καὶ οὐδὲ ἐκεῖνο συνίετε ὅτι πολλοὶ συμμαχήσαντες, οὐ μέντοι κρατήσαντες τὰ συνωμολογημένα χρήματα παρὰ τῶν συμμαχίας τυ-

5 τὸ a 6 λαθεῖν A B Huetius μαθεῖν a 22 δοκιμαζόμενοι a

χόντων κομίζονται, διότι τῶν συμμαχούντων ἕκαστος συμβαλλόμενος τὴν γνώμην οὐκ ἐπαγγέλλεται τὴν τύχην. ὢ τὸ παράδοξον τοῦτο τόλμημα ἡμῶν. στρατόπεδον ὅλον ποταμῷ βάλλεται καὶ κλύδωνι χερσαίῳ παρασύρεται καὶ χειροποιήτῳ χειμῶνι βαπτίζεται. ὢ μὴ πεζομαχήσαντες ἡμεῖς μόνον ἀλλὰ καὶ χωρὶς νεῶν ναυμαχήσαντες. αὔτανδρον οἴχεται τὸ τῶν
243 *πολεμίων στρατόπεδον καὶ πάνδημος ἐν ἠπείρῳ μέσῃ τοὺς ἐχθροὺς κατείληφε ναυαγία. κῦμα δεδιδαγμένον ἠγείρετο καὶ ῥοῦς κεκελευσμένος ἐγίνετο καὶ ποταμὸς ὑπὸ συνθήματος ῥεῖν προσετάττετο. ὢ μὴ μόνον ἀνδρῶν ἀλλὰ καὶ ποταμῶν ἐστρατηγηκότες.*

(Ἐκ τῶν) Ἰαμβλίχου ἱστοριῶν Βαβυλωνιακῶν.

Δεσπότης δούλου κατηγορεῖ ἐπὶ μοιχείᾳ τῆς οἰκείας γαμετῆς ἐξηγησαμένης ὡς ὄναρ τούτῳ ἐν τῷ τῆς Ἀφροδίτης ἱερῷ ἐμίγη.

Ὅτι μὲν οὐδεὶς ἂν ἑκὼν ἐπὶ τοιαύτην δίκην ἔλθοι καὶ ταῦτα σοὶ μέλλων, βασιλεῦ, χρήσασθαι
244 *δικαστῇ ὃς οὐ μόνους τοὺς τῶν κρινομένων ἐξετάζεις βίους ἀλλὰ καὶ τοὺς τῶν κατηγορούντων τρόπους, οὐκ ἔστιν ὅστις οὐκ ἂν συνομολογήσειέ μοι. ἔστω δὲ καὶ τοῦτο τεκμήριον τοῦ τὴν κατηγορίαν εἶναι τὴν*

5 ὢ A 7 *νηῶν a* 8 *πάνδημον — ναυάγιον a* 13 *ἰαμβλί^χ ἱστοριῶν βαβυλωνιακῶν* sub finem praecedentis fragmenti in mrg. ab eadem manu adscriptum habet A quod huc reuocaui; om. B *a* 23 *συνομολογήσει ἐμοί* B *a*

γινομένην ἀληθῆ τὸ καὶ τὴν ὑπόθεσιν εἶναι τῷ μέλλοντι κατηγορεῖν ἀηδῆ· τὴν γὰρ τοιαύτην δίκην ἡ νικηθεῖσα μὲν ἀδικεῖ, ἀτυχεῖ δὲ ὁ νικήσας. παραιτοῦμαι δὲ συγγνώμην ἔχειν μοι οὐ κατηγορεῖν βεβουλευμένῳ ἀλλὰ σιγᾶν μὴ δυναμένῳ, οὐ μόνον ὅτι ἀφόρητόν ἐστιν ἀδίκημα μοιχεία, ἀλλὰ καὶ ὅτι τῷ κοινῷ τῆς αὐτῆς ὕβρεως ἴδιόν τι τὸ ταύτης πρόσεστιν. ὁ γὰρ μοιχὸς δοῦλός ἐστι καὶ τὴν ψυχὴν ταπεινὸς κἂν ταύτῃ καλὸς εἶναι δοκῇ, δοῦλος δὲ οὐδὲ ἄλλου τινὸς ἀλλ᾽ ἐμός· ἔδει δὲ καὶ ταύτης δοῦλον 245 αὐτὸν ἀλλὰ μὴ δεσπότην εἶναι. ποιεῖ δὴ τὴν μοιχείαν περιττὴν καὶ μᾶλλον αἰσχρὰν ἄμφω συνελθόντα, ἡ τῆς μεμοιχευμένης δόξα καὶ ἡ τοῦ μοιχεύσαντος ἀδοξία. δέομαι δέ σου, βασιλεῦ, πρὸς ταῦτά μοι βοηθῆσαι ὑπὸ μὲν γυναικὸς ὑβρισμένῳ, ὑπὸ δὲ δούλου παρευδοκιμημένῳ, νεμεσῆσαι δὲ καὶ τούτοις ἐν μὲν τοῖς ἔργοις λαθεῖν δεδυνημένοις, ὑπὸ δὲ τῶν θεῶν μεμηνυμένοις. ἀπορῶ δέ, πότερον αἰτιάσομαι θατέρῳ σύμβουλον καὶ διδάσκαλον γεγονέναι τῶν ἁμαρτημάτων. οὗτος μὲν γὰρ μειράκιόν ἐστιν, ὁ δὲ τοιοῦτος πεισθῆναι μᾶλλον ἢ πεῖσαι πιθανὸς εἶναι δοκεῖ καὶ διέφθαρται μᾶλλον ἢ διέφθαρκεν· αὕτη δέ 246 ἐστι γυνή, εὐεξαπάτητον δὲ εἶναι δοκεῖ γυνή· ὥστε τῷ μὲν τὸ τῆς ἡλικίας ἀσθενές, τῇ δὲ τὸ τῆς φύσεως τοιοῦτον συναγωνίζεται. συνελὼν οὖν λέγω· συναμφότεροι καλοί. δοῦλον οὖν τίς προετίμησεν ἀνδρός; ὡραῖος γάρ ἐστι καὶ καλὸς εἶναι, βασιλεῦ, κἀμοὶ δοκεῖ καὶ πολλάκις αὐτὸν ὁ μωρὸς πρὸς ταύτην ἐπῄνεσα ὡς εὖ μὲν τὸ πρόσωπον ἱστάντα, ὑγροῖς δὲ τοῖς ὄμμασιν ἐμβλέποντα, ἐπῄνεσα δὲ αὐτοῦ

1 τῶ pro τὸ B *a* 2 *δίκην a νίκην* A B 9 *δοκεῖ a* 11 *δὲ a* 14 *αὐτά a*

πολλάκις καὶ χεῖρας ἄκρας ὡς λευκὰς καὶ κόμας ταύτας ὡς ξανθάς. καὶ ταῦτα ἄρα λέγων ἐδίδασκον ταύτην ἐρᾶν. οἶδας δὲ καὶ σύ, βασιλεῦ, ὡς ἔστι ταῦτα ἀληθῆ. οὐδὲ γὰρ κατέλιπεν αὐτὸν τὸ κάλλος
247 οὐδὲ φοβούμενον, ἀλλ' ἔλαμψε μὲν ὑπὸ τοῦ δέους ἡ παρειά, τὸ βλέμμα δὲ οὐκ ἀπήνθησεν οὐδὲ λυπουμένου· παρέστηκε δέ σοι δεδεμένος, ἀλλ' ἐπέπρεψεν αὐτῷ καὶ τὰ δεσμά. φθόνος σοι καταρᾶται καὶ τῶν κακῶν ὁ κίνδυνός σε κοσμεῖ πονηρὲ καὶ καλέ, — ὀκνῶ δέσποτα λέγειν, ὅτι σήμερον καὶ καλλίων ἐγένετο. οὐκ ἐλεεῖς με, βασιλεῦ; μοιχὸν ἀνὴρ ἐπαινῶ καὶ ταῦτα τῆς μεμοιχευμένης ἀκουούσης, φοβοῦμαι δὲ μὴ καὶ σήμερον τὸ κάλλος αὐτῷ βοηθήσῃ. . . . . ἐπῄνουν αὐτὸν οὕτως, ὑπώπτευον δὲ αὐτοῦ τῶν ὀφθαλμῶν τὴν πλάνην καὶ τὰ πολλὰ κινήματα καὶ τὸ ἀποβλέπειν τῆς κύλικος ἔξω καὶ τοὺς ὅρους
248 τῶν οἰνοχόων ὑπερβαίνειν. τηρήσας δὲ εἶδον ἀμφοτέρων αὐτῶν νεύματα, τὸ μὲν παρ' αὐτοῦ πεμπόμενον, τὸ δὲ παρ' ἐκείνης συναντῶν· πάντα δὲ ὁμοῦ παρῆν ἐπ' αὐτούς, νεότης οἶνος κάλλος, προσῆν δὲ τούτοις ἐγὼ τῆς μοιχείας συναγωγεύς, ὁ τοῦ κάλλους ἑρμηνεύς. ᾤμην δὲ αὐτοὺς νουθετήσειν τὴν μὲν ἀνυπόδετον ἐκπέμψας, τὸν δὲ πατεῖσθαι καταβαλών. ὁ δέ, ὡς ἔοικεν, οὐκ ἠτιμάσθη πατούμενος, ἀλλ' ἐπατήθη μᾶλλον ἐλεούμενος καὶ γυναικῶν ἐν ὕπνοις. . . . .

ἡ μὲν φίλανδρος οἰκουρεῖ, ἡ δὲ φιλότεκνος ὠδίνει, ἡ
249 δὲ ἔριθος ἐργάζεται, ἡ δὲ ἐρῶσα μοιχεύει, ἡ δ' ἐμίγη. ἕκαστος ἡμῶν τῶν ὀνείρων ἑαυτὸν ἀναμνησάτω, τί μὲν ὀνειροπολεῖ τὰ πολλά, τί δ' ὁρᾷ. τοξότης τόξον,

2 ἄρα A 7 ἐπέτρεψεν B 13 βοηθήσει a 27 ἡ δ' ἐμίγη Walz εἰ δὲ μῆγε A B εἰδεμίγε a 29 δὲ a

ἱππότης ἵππον, βασιλεὺς θρόνον· αὕτη δὲ μοιχόν. ἑάλωκας, ὦ πανουργοτάτη γυναικῶν· εὕρηκά σε αὐτῷ τῷ μειρακίῳ παρακειμένην. τὰ γὰρ νυκτερινά σου φιλήματα τῶν μεθ' ἡμέραν ἐστὶν ὑπομνήματα· ἃ ποιεῖς ἐγρηγορυῖα, ταῦτα καθεύδουσα μελετᾷς. ἐνύπνιον γὰρ ἀνθρωπίνης σπουδῆς εἴδωλόν ἐστιν. καὶ συγκατάκεισαι μὲν ἐμοί, σχολάζεις δὲ ἐκείνῳ, καὶ παρ' ἐμοὶ μὲν τὸ σῶμα, παρ' ἐκείνῳ δὲ ἡ ψυχή, κἀμοὶ μὲν καθεύδεις, ἐκείνῳ δὲ οὔ.

Τοῦ αὐτοῦ

Περὶ προόδου τοῦ Βαβυλωνίων βασιλέως 250

Τὸ ἅρμα, ἐφ' ᾧ φέρεται ὁ βασιλεύς, ἅπαν ἐλέφαντός ἐστιν εἰργασμένον ἐγγύτατα ἀπήνης Ἑλληνικῆς, αἱ δὲ ἡνίαι τῶν ἵππων εἰσὶ πορφυραῖ ταινίαι· ἐφέστηκε δὲ ὁ βασιλεὺς σκευὴν ἐσκευασμένος ἐξαίρετον ἐν ᾗ μήτε θηρᾷ μήτε δικάζει μήτε θύει ἀλλὰ πομπεύει μόνον. ἔστι δὲ ἁλουργὶς χρυσῆ· ἐξ ἴσου γὰρ ὁ χρυσὸς ὕφανται τῇ πορφύρᾳ. φέρει δὲ καὶ σκῆπτρον ἐλεφάντινον ᾧ τὴν χεῖρα τὴν δεξιὰν μετέωρον ἐρείδεται. ἡγοῦνται δ' ἱππεῖς σκηπτοῦχοί τε καὶ σατράπαι καὶ ἱππάρχαι καὶ χιλιάρχαι οἷς τι μέτεστι τοῦ ἔργου, οἱ μὲν πεζοὶ ἀργυράσπιδες, ἔτι 251
δὲ ἀργυροθώρακες καὶ χρυσοθώρακες, ψελίοις μὲν τὰς χεῖρας, στρεπτοῖς δὲ τοὺς τραχήλους κεκοσμημένοι· περὶ δὲ ταῖς κεφαλαῖς οὐ κράνη περιτίθενται ἀλλὰ ἐπάλξεων σημεῖα καὶ πύργων στεφανοῦντα τὴν κεφαλὴν καὶ σκέποντα. καὶ ταῦτα μὲν ἀργύρου καὶ

2 ἑώρακά B *a* αὖ τῷ A 3 τῷ addidi παρακειμένην scripsi περικειμένην AB *a* 6 ἔστι A *a* 21 ἵππαρχοι — χιλίαρχοι *a* 23 ψελλίοις A B *a* quod correxi 24 δὲ A δὲ δὲ B δὲ δὴ *a*

χρυσοῦ πεποιημένα· ἔστι δὲ ἄλλα καὶ λιθοκόλλητα τοῖς κρείττοσιν, ὀλίγοι δὲ καὶ στεφάνοις χρυσοῖς ἀναδέδενται οἷς ἂν ἐκ βασιλέως δοθῇ. οἱ δ' ἐφ' ἵππων ἐλαύνουσι Νισαίων, τῶν μὲν τὸν πολεμικὸν τρόπον ἐσκευασμένων προμετωπιδίοις τε καὶ στερνιδίοις καὶ παραπλευριδίοις· καὶ παραμηρίδια τοῖς ἱππεῦσι περίκειται· τῶν δὲ εἰς πομπὴν ἠσκημένων
252 χρυσοχαλίνων πάντων ὥσπερ εὐδαιμόνων γυναικῶν ζωστῆρές τε καὶ τελαμῶνες καὶ ἔφιππα οὐδὲν οὐδὲ τούτων ἐστὶν ὃ μὴ χρυσήλατόν ἐστιν ἢ χρυσόπαστον. τρίχες δὲ τῶν ἵππων οὖλαι διαπλέκονται καθάπερ πλόκαμοι γυναικῶν καὶ διαδοῦνται καὶ περισφίγγονται πορφυραῖς τε καὶ ποικίλαις ζώναις, αἱ δὲ ἐν ταῖς ἱππολοφίαις ἔνθεν τε καὶ ἔνθεν αἰωροῦνται καὶ καθίενται κατὰ τῶν αὐχένων, αἱ μὲν ἁπαλαί, αἱ δὲ ὀρθαί, αἱ δὲ οὖλαι, αἱ μὲν φύσει πεφυκυῖαι, αἱ δὲ διὰ τέχνης ἠναγκασμέναι. πλάττουσι δὲ αὐτῶν καὶ βαδίσματα καὶ βλέμματα καὶ νεύματα καὶ φρονήματα, ἐνίων δὲ καὶ τὰ φρυάγματα καὶ χρεμετίσματα. πομπευτὴς γὰρ ἵππος πάντα διδάσκεται.
253 πρῶτον μὲν γὰρ αὐτὸς ἐκτείνας εἰς τὸ ἔδαφος τοὺς πόδας καὶ χαμαιπετὴς γενόμενος ἀναβάτην λαμβάνει καὶ τρυφῶντα καὶ κάμνοντα, ὁ δὲ ἐπὶ τὸ σοβαρώτερον πεπαιδευμένος οὐκ εἰς γαστέρα καθίεται ἀλλ' εἰς γόνατα πίπτει, ἵνα δοκῇ τὸν ἱππέα δέχεσθαι καὶ προσκυνεῖν· ἔπειτα παρέχει ὑγρὰν τὴν ῥάχιν καὶ κραδαινομένην ἐν τῷ δρόμῳ δίκην ἑρπετοῦ, διδάσκει δὲ καὶ ῥυθμίζειν ἑαυτὸν καὶ σχηματίζειν καὶ ταῖς ῥισὶν ἐμπνεῖν καὶ τοῖς ὀφθαλμοῖς ἐμβλέπειν καὶ

4 ἐλαύνουσι Νισαίων *a* ἐλαύνουσιν σαίων A B 6 παραπλευριδίοις καὶ om. A *a* 14 τε om. B *a* 26 παρέχειν A 27 διδάσκοι A

ὑψαυχενεῖν καὶ σοβεῖν καὶ γαυριᾶν καὶ πάντα ὅσα καὶ ἀθλητὴς ἐπιδείκνυσι τῷ θεάτρῳ. ἐκ δὲ τούτων ὁ μὲν ἵππος εὐειδέστερος φαίνεται, ὁ δὲ ἱππεὺς σοβαρώτερος γίνεται.

Τοῦ αὐτοῦ. 254

Θανάτου καταφρονήσας ἄνθρωπος δεσπότην οὐκ ἔχει.

Τὰ ἐνύπνια ὑπὸ μὲν τοῦ δαιμονίου πέμπεται, ὑπὸ δὲ τῆς ἑκάστου ψυχῆς τῶν ὁρώντων πλάττεται· καὶ τῆς μὲν φύσεως αὐτῶν ὁ θεός ἐστι χορηγός, τῆς δὲ ἰδέας ἡμεῖς αὐτοὶ δημιουργοί.

Φιλαίτιοι τὰς φύσεις εἰσὶν οἱ βάρβαροι καὶ πρόχειροι τὰς ὁρμάς, ὀλίγα μὲν χρώμενοι τοῖς λογισμοῖς, τὰ πολλὰ δὲ τοῖς πάθεσιν εἴκοντες.

Ὅταν ὁ ἔρως ζηλοτυπίαν προσλάβῃ, τύραννος ἐκ βασιλέως γίνεται.

Ὀξεῖς οἱ τῶν ἐρώντων λογισμοὶ καὶ πρόχειροι 255 *ὑποπτεῦσαι, δεινοὶ δὲ εἰκάσαι, ἔνθεοι δὲ μαντεύσασθαι.*

Πάντας μὲν ἀνθρώπους ἐξίστησιν ἔρως, εὐνούχους δὲ ποιεῖ φονικωτέρους ὥσπερ οἶνος Σκύθας· φονᾷ γὰρ Σκύθης μὲν πιών, εὐνοῦχος δὲ ἐρῶν.

ἐκ τοῦ Διοδώρου.

Περὶ δύο ἀνδρῶν ἀριστευσάντων ἐν πολέμῳ καὶ ἀγωνιζομένων περὶ πρωτείων.

Μετὰ ταῦθ' ὁ μὲν βασιλεὺς ἀναλαβὼν ἑαυτὸν ἐκ τῶν τραυμάτων προέθηκε κρίσιν ἀριστείου. κα-

5 *τοῦ αὐτοῦ* om. B *a* 23 *ἐκ τοῦ διοδώρου* in mrg. ab eadem manu AB, *ΑΝΩΝΥΜΟΥ ΤΙΝΟΣ ΠΕΡΙ δύο ἀνδρῶν κ. τ. λ. s* 27 *κατεβόησαν* B

τέβησαν μὲν οὖν ἐπὶ τὸν ἀγῶνα δύο, Κλέοννίς τε καὶ Ἀριστομένης, ὧν ἑκάτερος εἶχεν ἴδιόν τι πρὸς δόξαν. ὁ γὰρ Κλέοννις ὑπερασπίσας τὸν βασιλέα πεπτωκότα τῶν ἐπιφερομένων Σπαρτιατῶν ὀκτὼ νεκροὺς ἐπεποιήκει· καὶ τούτων ἦσαν δύο ἡγεμόνες ἐπιφανεῖς· πάντων δὲ τῶν ἀναιρεθέντων ὑπ' αὐτοῦ τὰς πανοπλίας ἐσκυλευκὼς ἐδεδώκει τοῖς ὑπασπισταῖς, ἵν' ἔχῃ σημεῖα τῆς ἰδίας ἀρετῆς πρὸς τὴν κρίσιν. πολλοῖς δὲ περιπεσὼν τραύμασιν ἅπαντ' ἔσχεν ἐναντία, μέγιστον παρεχόμενος τεκμήριον τοῦ μηδενὶ τῶν πολεμίων εἶξαι. ὁ δ' Ἀριστομένης ἐν τῷ περὶ τοῦ βασιλέως ἀγῶνι πέντε μὲν ἀνῃρήκει τῶν Λακεδαιμονίων καὶ τὰς πανοπλίας ἐσκυλεύκει τῶν πολεμίων ἐπικειμένων· καὶ τὸ μὲν ἑαυτοῦ σῶμα διεφύλαξεν ἄτρωτον, ἐκ δὲ τῆς μάχης ἀπερχόμενος εἰς τὴν πόλιν ἔργον ἐπαινούμενον ἔπραξεν. ὁ μὲν γὰρ Κλέοννις ἀσθενῶς ἐκ τῶν τραυμάτων διακείμενος οὔτε βαδίζειν καθ' αὑτὸν οὔτε χειραγωγεῖσθαι δυνατὸς ἦν· ὁ δ' Ἀριστομένης ἀράμενος αὐτὸν ἐπὶ τοῦ σώματος ἀπήνεγκεν εἰς τὴν πόλιν, οὐδὲν δὲ ἧττον κομίζων τὴν ἰδίαν πανοπλίαν, καὶ ταῦτα τοῦ Κλεόννιδος προέχοντος τῶν ἄλλων μεγέθει τε καὶ ῥώμῃ σώματος. τοιαύτας δ' ἐχόντων ἀφορμὰς εἰς τὴν ὑπὲρ τῶν ἀριστείων κρίσιν ὁ βασιλεὺς ἐκάθισε μετὰ τῶν ταξιαρχῶν κατὰ τὸν νόμον. προλαβὼν οὖν τὸν λόγον ὁ Κλέοννις τοιούτοις ἐχρήσατο λόγοις.

Βραχὺς μέν ἐστιν ὁ περὶ τῶν ἀριστείων λόγος· κριταὶ γάρ εἰσιν οἱ τεθεαμένοι τὰς ἑκάστων ἀρετάς· ὑπομνῆσαι δὲ δεῖ με διότι πρὸς τοὺς αὐτοὺς ἄνδρας ἑκατέρων διαγωνισαμένων ὑφ' ἕνα καιρὸν καὶ τόπον

7 ὑπερασπισταῖς A 8 ἵνα B's

ἐγὼ πλείους ἀπέκτεινα. δῆλον οὖν ὡς κατὰ τὴν αὐτὴν περίστασιν ὁπότερος ἐν ἀριθμῷ τῶν ἀναιρεθέντων προτερεῖ, προτερεῖ καὶ τοῖς εἰς τὸ πρωτεῖον δικαίοις. ἀλλὰ μὴν καὶ τὰ σώμαθ' ἑκατέρων ἐμφανεστάτας ἀποδείξεις ἔχει τῆς ὑπεροχῆς· ὁ μὲν γὰρ πλήρης ὢν τραυμάτων ἐναντίων ἀπελύετο τῆς μάχης, ὁ δ' ὥσπερ ἐκ πανηγύρεως ἀλλ' οὐ τηλικαύτης παρατάξεως ἐξιὼν οὐκ ἐπειράθη, τί δύναται πολεμίων σίδηρος. εὐτυχέστερος μὲν ἴσως Ἀριστομένης, ἀγαθώτερος δ' ἡμῶν οὐκ ἂν δικαίως κριθείη. πρόδηλος γὰρ ὁ ὑπομείνας τοσαύτας διαιρέσεις τοῦ σώματος ὡς ἀφειδῶς ἑαυτὸν ἐπέδωκεν ὑπὲρ τῆς πατρίδος· ὁ δ' ἐν πολεμίων συμπλοκῇ καὶ τηλικούτων κινδύνων τηρήσας ἑαυτὸν ἄτρωτον εὐλαβείᾳ τοῦ παθεῖν τι τοῦτ' ἐνήργησεν. ἄτοπον οὖν εἰ παρὰ τοῖς ἑωρακόσι τὴν μάχην ὁ τῶν πολεμίων μὲν ἐλάττους ἀνελών, τῷ δ' ἰδίῳ σώματι κινδυνεύσας ἧττον προκριθήσεται τοῦ πρωτεύοντος ἐν ἀμφοτέροις. ἀλλὰ μὴν καὶ τὸ μηδενὸς ἔτι κινδύνου ὑπάρχοντος βαστάσαι τὸ σῶμα καταπεπονημένον ὑπὸ τῶν τραυμάτων ἀνδρείαν μὲν οὐδεμίαν ἔχει, σώματος δ' ἴσως ἰσχὺν ἐπιδείκνυται. ἱκανά μοι ταῦτα εἴρηται πρὸς ὑμᾶς· πρόκειται γὰρ ἀγὼν οὐ λόγων ἀλλ' ἔργων.

Παραλαβὼν δ' ἐν μέρει τὸν λόγον Ἀριστομένης, θαυμάζω, φησίν, εἰ μέλλει περὶ ἀριστείων ἀμφισβητεῖν ὁ σωθεὶς τῷ σώσαντι· ἀναγκαῖον γὰρ ἢ τῶν δικαζόντων αὐτὸν ἄνοιαν καταγινώσκειν ἢ τὴν κρίσιν δοκεῖν ἐκ τῶν νῦν λεγομένων ἀλλ' οὐκ ἐκ τῶν

2 ὁπότερος A B s ὁ πρότερος I. Bekkerus 3 προτερεῖ ex προτερῇ A[1] προτερεῖ bis poni iussit L. Dindorfius 4 σώματα B s 8 ἐξιὼν s ἐξ ὧν A B ἐπειράθη] ϑ pro σϑ ex ras. A 9 post μὲν: οὖν s 13 τηλικούτων AB τοιούτων s 17 ἥττων ex ἧττον B[1]

τότε πεπραγμένων ἔσεσθαι. οὐ μόνον δὲ Κλέοννις δειχθήσεται κατ' ἀρετὴν λειπόμενος ἀλλὰ καὶ τελέως ἀχάριστος· ἀφεὶς γὰρ τὸ τὰ συντελεσθέντα ὑπ' αὐτοῦ καλῶς διαπορεύεσθαι διέσυρε τὰς ἐμὰς πράξεις, φιλοτιμότερος ὢν ἢ δίκαιος· ᾧ γὰρ καὶ ἰδίας σωτηρίας τὰς μεγίστας ὀφείλει χάριτας, τούτου τὸν ἐπὶ τοῖς καλῶς πραχθεῖσιν ἔπαινον διὰ φθόνον ἀφήρηται. ἐγὼ δὲ ὁμολογῶ μὲν ἐν τοῖς τότε γεγενημένοις κινδύνοις εὐτυχὴς ὑπάρξαι, φημὶ δὲ πρότερον ἀγαθὸς γενέσθαι. εἰ μὲν γὰρ ἐκκλίνας τὴν τῶν πολεμίων ἐπιφορὰν ἄτρωτος ἐγενόμην, οὐκ εὐτυχῆ με προσῆκεν ὀνομάζειν ἀλλὰ δειλὸν οὐδ' ὑπὲρ ἀριστείων λέγειν κρίσιν ἀλλὰ ταῖς ἐκ τῶν νόμων τιμωρίαις περιπεπτωκέναι· ἐπεὶ δ' ἐν πρώτοις μαχόμενος καὶ τοὺς ὑφισταμένους ἀναιρῶν οὐκ ἔπαθον ἅπερ ἔπραξα, ῥητέον οὐκ εὐτυχῆ με μόνον ἀλλὰ καὶ ἀγαθόν. εἴτε γὰρ οἱ πολέμιοι καταπλαγέντες τὴν ἀρετὴν οὐκ ἐτόλμησαν ἀμύνασθαι, μεγάλων ἐπαίνων ἄξιος ὃν ἐφοβήθησαν, εἴτ' ἐκείνων ἀγωνιζομένων εὐθύμως ἐγὼ φονεύων τοὺς ἀνθεστηκότας καὶ τοῦ σώματος ἐποιούμην πρόνοιαν, ἀνδρεῖος ἅμα καὶ συνετός. ὁ γὰρ ἐν αὐτῷ τῷ θυμομαχεῖν ἐμφρόνως ὑπομένων τὸ δεινὸν ἑκατέρας ἔχει τὰς ἀρετάς, σώματός τε καὶ ψυχῆς. καίτοι γε ταῦτα τὰ δίκαια πρὸς ἑτέρους ἦν μοι ῥητέον ἀμείνους τούτου. ὅτε γὰρ Κλέοννιν παραλελυμένον ἐκ τῆς μάχης εἰς τὴν πόλιν ἀπήνεγκα τἀμαυτοῦ σώζων ὅπλα, καὶ ὑπ' αὐτοῦ κεκρίσθαι νομίζω τὸ δίκαιον. καίτοι γε παροραθεὶς τόθ' ὑφ' ἡμῶν

5 δίκαιος A B idque suspicatus erat L. Dindorfius δίκαιον *s* 22 αὐτῷ τῷ A B τῷ om. *s* addiderat Wesselingius 24 ταῦτα τὰ Wesselingius ταῦτα A B *s* 25 τούτων B 28 ἡμῶν A B et ex coniectura Wesselingius ὑμῶν *s*

ἴσως οὐκ ἂν ἤριζε νῦν ὑπὲρ ἀριστείων οὐδὲ διασύρων τηλικοῦτον μέγεθος εὐεργεσίας ἔλεγε μηδὲν εἶναι μέγα τὸ πραχθὲν διὰ τὸ κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἀποχωρεῖν ἐκ τῆς μάχης τοὺς πολεμίους. τίς γὰρ οὐκ οἶδεν ὅτι πολλάκις οἱ διαλυθέντες ἐκ τῆς μάχης ἐξ ὑποστροφῆς εἰώθασιν ἐπιτίθεσθαι καὶ στρατηγίᾳ ταύτῃ χρησάμενοι τυγχάνειν τῆς νίκης; ἱκανά μοι τὰ ῥηθέντα· λόγων γὰρ πλειόνων οὐκ οἶμαι ὑμᾶς προσδεῖσθαι.

Τούτων ῥηθέντων οἱ δικάζοντες ὁμογνώμονες γενόμενοι προέκριναν τὸν Ἀριστομένην.

1 *ἂν* om. B 2 *μηδὲν* L. Dindorfius *μηθὲν* A Б *s* 5 *οἶδε* B 11 *προύκριναν* B *τέλοσ* B

BIBLIOTHECA · BODLEIANA ·

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ

ΠΕΡΙ ΤΩΝ ΚΑΤΑΛΕΙΦΘΕΝΤΩΝ

ΥΠΟ ΤΟΥ

ΟΜΗΡΟΥ

ΚΑΙ

ΠΕΡΙ ΙΔΙΟΤΗΤΟΣ ΚΑΙ ΧΑΡΑΚΤΗΡΩΝ

ΤΩΝ

ΕΝ ΤΡΟΙΑ ΕΛΛΗΝΩΝ ΤΕ ΚΑΙ ΤΡΩΩΝ

ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ pag. 259 Allatii

Μέχρι τοῦδε τοῦ τάφου τοῦ Ἕκτορος ὁ Ὅμηρος τῶν εἴκοσι τεσσάρων γραμμάτων τὸ σπούδασμα συναπήρτισε· τὰ δ' ἑξῆς ἐκ παλαιῶν διαφόρων πόνῳ πολλῷ συλλέξας Ἰσαάκιος ὁ Πορφυρογέννητος διέθηκεν εἰς εἴδησιν τῶν καταλειφθέντων παρὰ τοῦ Ὁμήρου· καὶ γεγονότων περὶ τῆς Τροίας τὴν ἅλωσιν.

Ὁ σοφώτατος Ὅμηρος πόνῳ πολλῷ τὸ παρὸν τῶν εἴκοσι τεσσάρων γραμμάτων πολυθρύλλητον 260 *ἐκτελέσας ἀγώνισμα πολλαῖς τε καὶ ποικίλαις κατακαλλύνας αὐτὸ λέξεσι καὶ ὑφηγηματικοῖς ἐννοήμασι κατὰ τὴν τῶν παρόντων γραμμάτων ὑφὴν τὴν προτιθεμένην πάντως ἐκφράσαι τὸν τρόπον τῆς πανωλεθρίας Τρωικῆς ἁλώσεως τούτου, οὐκ οἶδ' ὅπως τοῖς ἀκροωμένοις καὶ ἐντυχοῦσι τῇ παρούσῃ βίβλῳ οὐδ' ὁποσοῦν διεσάφησε —, τὰ πρὸ τῆς ἁλώσεως πάντα καλῶς καταλέξας ὁ τοιοῦτος σοφώτατος Ὅμηρος ἡρωικοῖς στίχοις καὶ λέξεσι πάντα πανευφυῶς καὶ καλῶς καὶ κατ' ἔπος διασαφήσας τοῖς ἐντυγχάνουσι καὶ μᾶλλον τὰ καιριώτερα τῶν προτεθεισῶν* 261

1 Nulla inscriptio in *AB*, *ΙΣΑΑΚΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ Περὶ τῶν καταλειφθέντων ὑπὸ τοῦ ΟΜΗΡΟΥ a* 4 *δὲ* B 5 *ἰσάκιος* B *διέθηκεν a διέθνηκεν* B *τέθηκεν* A 7 *ἄλλωσιν* A *ἄλλωσιν* B 8 *πόνω πολλῶ* et *πον* quidem in lit. A² *τὸν ω πολλω* B 10 *καὶ* bis scriptum B 11 *ἐν νοήμασι* B 13 *ἐκφράσας a* 15 *εὐτυχοῦσι* B *a* 18 *πανευριῶς* B 19 *ἔπως* B *διασαφήσεωσ* B

ὑποθέσεων, ἁρπαγὴν Ἑλένης, ἀναίρεσιν Ἕκτορος, Ἀχιλλέως τὴν μῆνιδα, ἡγεμονίαν τοῦ Ἀγαμέμνονος, Μενελάου μέγα δυστύχημα, Πατρόκλου τὸν θάνατον, τὴν ταφὴν ἐκείνην τὴν πάνδημον καὶ τὴν περὶ τούτου τύμβον Ἑκτόρειον σύρσιν τὴν κατὰ κυκλικὴν περιφέρειαν, τὴν λυσσώδη ταύτην καὶ ὄντως ἐφύβριστον, καὶ τἄλλα πάντα συλλήβδην εἰπεῖν ὅσαπερ τῶν γραμμάτων τούτων πανευφυῶς ἀνακηρύττειν οἶδεν ἡ δύναμις, — ταῦτ' οὖν ἐκτεθεικὼς ὁ ποιητὴς ἅπαντα καὶ τερματώσας οὕτω τὰ ἐκτεθέντα τῷ Ἑκτορείῳ φόνῳ καὶ τῇ τούτου ταφῇ, ἐσιώπησε μηδέν τι τοῦ τέλους τοῦ τρόπου τῆς Τρωικῆς ἁλώσεως
262 *ἐξαγγείλας μοι καὶ τῇ παρούσῃ βίβλῳ ἀναταξάμενος, ὡς ἂν ἔχοιεν οἱ ἐντυγχάνοντες αὐτῇ κἀκ τοῦ συμπεράσματος τῆς ὅλης φημὶ ὑποθέσεως μεγίστην χειραγωγίαν καὶ ἐπικουρίαν οὐκ ἀγεννῆ τῆς ὅλης τοῦ πράγματος γνώσεως. οὐδὲν γὰρ ἀτερμάτιστον ὅπερ σαφεστάτην τοῦ προκειμένου πράγματος παρίστησι τὴν ὁλότητα τῆς ἀρχῆς καὶ τοῦ τελικοῦ πέρατος πάντως τὰ μεταξὺ περατούντων τε καὶ εἰς ὅρον συσφιγγόντων συλλογιστικῶς πως ἕνα τῆς γνώσεως. ἀλλ' ὁ μὲν ποιητὴς οὐκ οἶδ' ὅπως, ἧπερ ἔφην, τὰ ἐφεξῆς τῇ ἀρχῇ συνείρας τῶν ὑποθέσεων οὐκ εἶπεν ἐν τῷ τέλει καὶ τοὺς τρόπους αὐτοὺς τῆς ἁλώσεως οὔτε μὴν τὸν παράνομον καὶ ἀνόσιον φόνον Πριάμου*
263 *τοῦ καθηγεμόνος ἐκείνου τῶν Τρώων καὶ γέροντος καὶ τὴν διὰ θεῶν ἁρπαγὴν τῆς Ἑλένης καὶ τῆς ἀθλίας Ἑκάβης τὴν τεθρυλλημένην αἰχμαλωσίαν καὶ*

2 *ἀχιλέως* B 5 *τούτου* post *τύμβον* repetunt A B *a* quod deleui 11 *τάφῳ* pro *φόνῳ* *a* 12 *τοῦ τρόπου* om. *a* 14 *αὐτοὶ* *a* 16 *ἀγεννῆ* *a* 19 *τέρματος* *a* 22 *ἔφην* A[2] *a* *φὴν* A[1] B 27 *διάθεον* *a*

τῶν παίδων πάντων αὐτῆς πικροτάτην ἀναίρεσιν, ναὶ μὴν καὶ τὸ ἀλγεινότερον αὐτῇ τὴν τῆς ποθουμένης θυγατρὸς Πολυξένης διὰ μαχαίρας ἀναίρεσιν τὴν δυσδαίμονα, ἀλλ' οὐδὲ τὸν τοῦ τεθρυλλημένου Ἀχιλλέως φόνον ἡμῖν διεσάφησε τὸν ἐπίκλοπον ἄλλων παλαιῶν ἄλλα τῶν ἐν τούτοις ἠριθμημένων ἀναταξάντων τοῖς πίναξιν. ἐγὼ δὲ προνοίᾳ τῆς ἀκριβεστέρας τοῦ πράγματος γνώσεως καὶ τῇ τῶν ὁμοφύλων εὐνοίᾳ τῇ εὐαρεστούσῃ Θεῷ πόνῳ τὰ παρὰ τοῦ ποιητοῦ καταλειφθέντα καὶ σποράδην διαφόροις παλαιῶν βίβλοις ἐγκείμενα ἱστορίαις τε καὶ 264 *ὑφηγήσεσι συλλέξας τῷ παρόντι πέρατι τῆς Ὁμηρείου βίβλου συνεπτυγμένως ἐκτίθημι, οἷάπερ τις, ὡς εἰπεῖν, ἐντυχὼν καλλίστῃ ῥοδωνιᾷ πάντοσε μὲν πέριξ κατὰ κόσμον γεγυρωμένῃ καὶ περιπεφραγμένῃ θριγγοῖς, περὶ δὲ τὸ ἓν μέρος τούτων ἐστερημένῃ παντάπασι, προνοητικῶς τὸ μέρος ἐκεῖνο τὸ ἄφρακτον τοῦ ἐπιθρίγγου καὶ περιστύλου γυρώματος θριγγῶν ἀνεπλήρωσεν, ὡς ἂν ὁ λειμὼν ἐκεῖνος ὁ ῥοδωνιαῖς περιστεφόμενος ἔχῃ κἀκ τῶν προστεθέντων θριγγῶν τὴν τελειοτέραν ἀσφάλειαν. καὶ δήπερ λοιπὸν τὰ παρ' ἡμῶν συλλεγέντα κατὰ τὴν ἡμετέραν τῆς διανοίας ἀσθένειαν καὶ τῆς γλώσσης τὸ ἄπορον τῇ παρούσῃ βίβλῳ φιλοφρόνως ἐκθήσομεν μὴ μέτροις* 265 *ἡρωικῶν στίχων καὶ λέξεων, οἷάπερ τοῖςδε τὸν Ὅμηρον ἀπομιμησάμενοι — τοῦτο γὰρ ἐπιπόνου μάλιστα καὶ ἐργωδεστέρας ἐστὶν ἐγχειρήσεως —,*

9 *εὐαρεσκούσῃ a* 10 *παραλειφθέντα a* *σποράδην a* *σποράσην* A B 14 *ἐντυχὸν* B 16 *ἐν* B 19 *ἀνεπλήρωσεν* scripsi *ἀνεπλήρωσα* AB *a* 20 *περιστ φόμενος* (sic) AB 21 *τελεωτέραν a* 25 *λέξων* B 26 *ἐπὶ πόνου* AB *ἐπίπονον a*

ἀλλ' ὕφους ἁπλότητι καὶ πεζῇ τῇ λέξει καὶ εὐκρινείᾳ τῆς ὑποθέσεως. οὐ γὰρ καλλιεπείας ῥημάτων ἐνταῦθα χρεία καὶ κτύπου ἠχήεντος καὶ κόμπου περικροτοῦντος τὴν ἀκοὴν κατὰ τοὺς τῶν ῥητορικῶν λόγων ἄξονας ἀλλὰ μόνης τῶν καταλειφθέντων πάντως τῆς κατὰ λεπτὸν ὑφηγήσεως, ὅπως οἱ τῇ παρούσῃ βίβλῳ προσεντυγχάνοντες καὶ μὴ πλείω πονῆσαι βουλόμενοι εἰς τὴν τῶν ἐκτεθέντων νυνὶ παρ' ἡμῶν ἐκ διαφό-
266ρων βίβλων συνάθροισιν ἔχοιεν ὄψον οἷάπερ εὔθρυπτόν τε καὶ ἀπονώτερον ταυτὶ τὰ παρακείμενα καὶ ταῖς πρὸς τὸν κύριον εὐχαῖς δεξιῶνται τὸν εἰς συλλογὴν τῶν παρόντων εὐνοίᾳ τῶν ὁμοφύλων πονήσαντα. ἔχει δ' οὕτως τῶν λεχθησομένων καὶ προκειμένων ἡ ἑρμηνεία καὶ δύναμις.

Ἡ κακοδαίμων Τροία τρὶς ἑάλω ἡ δύστηνος, πρώτως μὲν ὑφ' Ἡρακλέους ἐκείνου τοῦ φρικτοῦ καὶ περιβοήτου ὑφ' ἥλιον, δεύτερον δ' αὖ ὑπὸ τῶν λεγομένων Ἀμαζόνων τῇ τῶν μαζῶν ἐκτομῇ. τοὺς γὰρ δεξιοὺς μαζοὺς αὗται πάλαι ἀπέτεμον τῇ μαχαίρᾳ πρὸς τὸ ῥᾳδίως καὶ ἀνεμποδίστως κραδαίνειν
267καὶ ἀναπάλλειν τὰ δόρατα· θρυλλούμεναι γὰρ αὗται τῇ τῆς ψυχῆς ἐν μάχαις ἀνδρείᾳ πᾶσιν ἐτύγχανον. κατὰ δέ γε τρίτην εἰσβολὴν πολέμου τὴν περιβόητον ὑπὸ τῆς τῶν Ἑλλήνων αὐτῶν τοῦ στρατεύματος συγκροτήσεως ὁ τῆς Τροίας ἑάλω περίβολος, περὶ ἧς ὁ Ὅμηρος πᾶσαν τοῖς γράμμασι συνεστήσατο τὴν ὑπόθεσιν. καὶ δήπερ ὁ Λαομέδων, πατὴρ ὢν Πριάμου τοῦ γέροντος καὶ μέγας τῷ τῆς ἐξουσιαστικῆς

6 οἱ *a* ἡ A B 7 προσεντυγχάνοντες B προστυγχάνοντες *a* 8 ἐκτιθέντων B *a* 11 ἐς *a* 15 ἡ priore loco *a* om. A B 16 Ἡρακλέους *a* ἡρακλέος A ἡρακλέως B 17 ὑφ' ἥλιον om. *a* 26 ὁ om. *a*

*χειρὸς κράτει, πρῶτος ἠβουλήθη τὰ τείχη τῆς Τροίας
ἐκ βάθρων συστήσασθαι. ἐντεῦθεν φροντίδι τούτου
πολλῇ τοῦ πράγματος, πιεζόμενος ὅπῃ κρείττονος
τόπου τεχνικῶς ἑδράσει τὰ τοῦ ἄστεος θέμεθλα, τῷ
μαντείῳ προσῆλθε τοῦ Ἀπόλλωνος ἔμφροντις ἐρω-
τήσων περὶ τοῦ ἄστεος τῆς συμπήξεως. ᾧ καὶ τὰ
ῥήματα ταῦτα πεφοίβαστο ὡς ἔνθα βοῦς ἔνθεν κά-* 268
*κεῖθεν πλαζομένη καὶ ἀτάκτοις συμπεριφερομένη
κινήσεσι στῇ ἀτρεμήσασα, κατὰ τόνδε τὸν τόπον τὰ
βάθρα τοῦ ἄστεος συμπεπήχθωσαν. ἦν δὲ κεκρυμ-
μένως πως τὸ προφοίβασμα τόδε τὴν ἐσομένην κατὰ
τὸν χρόνον ἐκεῖνον πανώλεθρον βοὴν τῇ Τροίᾳ
συντεκμαιρόμενον. ἡ γὰρ βοῦς τὴν βοήν, ὡς εἰπεῖν,
τρανῶς ἀνεκήρυττε καὶ ἡ πλάνη ταύτης καὶ ἄτακτος
κίνησις τὴν πλάνην τοῦ Λαομέδοντος περὶ τὴν
κτίσιν τῆς Τροίας καὶ τὴν ταραχὴν τῆς πορθήσεως
αὐτῆς οἰκτρῶς ὑπεσήμαινε, τῆς τῶν πραγμάτων
ἀποβάσεως συμμαρτυρούσης μοι πάντως τὴν περὶ
ταῦτα λέγω ἀλήθειαν. οὕτω τὰ μὲν ἔφη τὸ φοί-
βασμα, τὰ δὲ κρυπτῶς ἐτεκμήρατο. καὶ δήπερ ὁ* 269
*Λαομέδων ἀκούσας αὐτοῦ τοῦ φοιβάσματος ἐγεγήθει
τούτῳ καὶ ἑώρα περιεργότερον, ποῦ ἂν βοὸς τύχῃ
τῇ ὄψει τελεσιουργησάσης τὸ φοίβασμα, ὡς ἂν τῇ
τῆς βοὸς στάσει σωτηριωδῶς δῆθεν συμπήξῃ τὰ τοῦ
ἄστεος θέμεθλα τῇ τοῦ μέλλοντος ἀπάτῃ σαινόμενος.
ἀλλὰ δὴ μετὰ μικρὸν τὴν βοῦν κατὰ τὸ φοίβασμα
περιπλανωμένην ἱστόρησε καὶ τὴν στάσιν ἰδεῖν αὐ-
τῆς ἅμα ἐγλίχετο, ὧν εὐθέτως κατὰ τὴν ἑαυτοῦ
τυχὼν ἔφεσιν πόνῳ πολλῷ τεκτονικῆς ὁμηγύρεως ἐκ
βάθρων τὰ τείχη τῆς Τροίας αὐτὸς συνεστήσατο*

4 *ἄστεος — προσῆλθε τοῦ* om. B *a* 9 post *στῇ*: *καὶ a*

ἔνθα πάντως ἡ βοῦς ἀκινησίᾳ τοὺς πόδας ἐστήριξεν.
270 *ἐπεὶ δ' ὁ Ποσειδῶν, θεὸς αὐτὸς ὁ θαλάσσιος, καὶ*
Ἀπόλλων, ὁ τούτου ὁμαίμων, κατὰ τῆς τοῦ Διός τοῦ
πατρὸς αὐτῶν, βασιλείας ἐπικλόπως μεμελετήκασιν,
ὅπως τῆς δόξης τοῦτον καταβιβάσειαν, ὑπὸ τοῦ
πατρὸς δ' οὗτοι συνενοήθησαν καὶ τὸ τούτων πάν-
τως σκαιώρημα, εἰς ποινηλασίαν ἐντεῦθεν καὶ ὕβριν
τῶν ἐπιβούλων ὁ πατὴρ τούτους τῆς αὐτῶν ἐξουσίας
μετέστησε καὶ τῷ Λαομέδοντι δέδωκεν εἰς ὑπουργίαν
καὶ μὴ βουλομένους τῆς Τρωικῆς κτίσεως. τοίνυν
αὐτὸς λαβὼν ἀμφοτέρους καὶ ὑπαγαγὼν εἰς μισθαρ-
νείαν τοιαύτην ἐφύβριστον, τὸν Ποσειδῶνα, ὡς ἔοι-
κεν, ᾤκτειρεν ἢ καὶ φοβηθεὶς οὐκ οἶδ' ὅπως οἷα
θεόν, δοῦναι τούτῳ μισθὸν τῆς μισθαρνείας ὑπέ-
σχετο μετὰ τὸ συναπαρτισθῆναι τὸ τεῖχος τοῦ ἄστεος.
271 *οὗ τελεσθέντος ὁ Λαομέδων αὐτὸν διεψεύσατο. καὶ*
δήπερ ὁ Ποσειδῶν ἀχθόμενος τῆς ἀπάτης εἵνεκα εἰς
πυθμένα πάλιν θαλάσσιον ὑπενόστησεν οὗ καὶ πρώ-
*τως διέτριβεν, ἀτὰρ ἐφρόντισεν *ἀτρείδης* παρ' αὐτοῦ*
ἐπαχθησομένης ὀργῆς τῷ Λαομέδοντι κἀντεῦθεν
τὸ κῆτος εἰς λύμην τῆς χώρας αὐτοῦ θυμωθεὶς
ἐξαπέστειλεν. ὃ δήπερ βλοσυρῶς ἐξηφάνιζε λίαν τὰ
παρακείμενα. ἀμέλει τὴν πανώλεθρον ταύτην φθο-
ρὰν ὁ Λαομέδων γε θεασάμενος πάλιν τῷ μαντείῳ
προσῆλθε καὶ τὸν τρόπον μαθεῖν ἐζήτει τῆς τοῦ
δεινοῦ ἐπιλύσεως. καὶ ἤκουσε τοιούτου φοιβάσματος
ὡς εἰ τῷ κήτει τὸ σὸν ἐκδώσεις, ὦ Λαόμεδον, θυ-
γάτριον, τὸ δεινὸν συντόμως παυθήσεται. ὁπηνίκα
272 *λοιπὸν τοιούτου φοιβάσματος ὁ ταλαίπωρος ἤκουσε,*

8 *ἐπιβούλων* A *ἐπιβουλόντων* B *ἐπιβουλευόντων* *a* 17 *ἕνεκα* *a* 18 *οὗ* *a* *ὃν* A B 19 *ἀτρείδης* *ἀτρυγέτης* *a* A B 20 *αὐτῷ* *a* 21 *λύμην* A *λύμνην* B *λιμένα* *a* 27 *Λαόμεδον* *a* *λαομέδων* A B

τὴν φθορὰν τῆς θυγατρὸς δευτέραν τῆς διαφθορᾶς παντὸς τοῦ χώρου συνελογίσατο, ὅθεν τῷ αἰγιαλῷ καὶ τῷ τῆς θαλάττης φλοίσβῳ ξένως προσήνεγκε θυγατέρα φύσεως τῷ γνωρίσματι, ἵνα τὸ κῆτος τοῦ βυθοῦ τῆς θαλάττης φρικτῶς ἑρπύσαν ὑπορροφήσῃ χανδὸν τουτὶ βαβαὶ τὸ θυγάτριον. ὁ τοίνυν Ἡρακλῆς διερχόμενος εἰς τὴν Τροίαν καὶ μυηθεὶς τὰ γινόμενα ἠρώτα τὸν Λαομέδοντα τί ἂν καλὸν πρὸς τοῦτον ποιήσῃ εἰ τὸ κῆτος ἀναιρήσει καὶ τὴν παῖδα τῆς τούτου βορᾶς ἐκλυτρώσεται. κἀντεῦθεν ἑτοίμως ὁ ἐρωτώμενος ἵππους ἀθανάτους δοῦναι τούτῳ ὑπέσχετο εἰ τὴν παῖδα λυτρώσεται. καὶ ὁ Ἡρακλῆς σφόδρα τὸ ὑποσχεθὲν δῶρον ἀποδεξάμενος τοῖχόν τινα πρὸς σκέπην τούτου περὶ τὴν ἀκτὴν τῆς θα- 273
λάττης ἐτέκτηνεν ᾗτινι τὸ κῆτος ἐξ ἔθους προσέβαλλε τοῦ βυθοῦ ὑφαλλόμενον. ἐντεῦθεν πανοπλίᾳ ἑαυτοῦ τὸ σῶμα ὁ Ἡρακλῆς ἀσφαλισάμενος ὑπὸ τὸ τεῖχος ἐκάθητο οἷάπερ ἄντικρυς αἱμοβόρος λέων καὶ ἄγριος λόχῳ ὑποκρυπτόμενος καὶ περιεκδεχόμενος εὐπετῶς θήραμά τι διαρρῆξαι τοῖς ὄνυξι καὶ τῷ τοῦ δεινῶς βρυχωμένου στόματος ἕρκει. ἀλλὰ τὸ κῆτος ἤδη τοῦ θαλασσίου πυθμένος ἐξέθορεν ὑπορροφῆσαι μηχανησάμενον τοῦ Λαομέδοντος τὸ θυγάτριον περὶ τὸν αἰγιαλὸν ἑδραζόμενον καὶ οἰκτρὸν τοῦτο προβληθὲν τῷ κήτει παρὰ πατρὸς θήραμα. ὅτε τοίνυν τὸ κῆτος τῷ αἰγιαλῷ προσεπέλασε τὸν σκοπὸν συμπερατῶσαι γλιχόμενον καὶ τὸ παμφάγον τούτου στόμα ἀπλέτως 274

2 *πάντως* B 4 *θυγατέρα* a *ἄτερα* (sic) A *ἀτέρα* B 5 *φρυκτῶς* a 9 *ποιήσῃ* ex *ποιήσει* A^1 *ποιήσῃ* B *ποιήσει* a 10 *ἐκλυτρώσεται* (B) ex *ἐκλυτρώσαται* A^1 *ἐκλυτρώσηται* a 13 *τοῖχόν* scripsi, *τεῖχόν* A B a cf. 73, 26; 80, 17 18 *ὠμοβόρος* a

ἀνέῳξε, τότε δὴ τότε ὁ Ἡρακλῆς ὁρμήματι λεοντείῳ — ὢ τῆς φρικτῆς τόλμης — τοῦ τείχους ἐξώρμησεν ἔνοπλος τοῦ πρὶν αὐτὸν περισκέποντος καὶ οὕτως εἰς τὸν πυθμένα τοῦ κήτους τὸν περιγάστριον ὀξυρρόπως ἐχώρησε πύλῃ οἷάπερ τῆς εἰσόδου τῷ κητῴῳ χρησάμενος στόματι. τὸν θῆρα λοιπὸν αὐτὸν τὸν ἀκαταγώνιστον διὰ ξίφους τῶν ἐντὸς παραδόξως ἀνῄρηκε καὶ τὴν χώραν οὕτω καὶ τοῦ Λαομέδοντος τὸ θυγάτριον τῆς φθορᾶς ὁ δεινὸς ἠλευθέρωσε. καὶ τὴν ἐκπλήρωσιν οὗτος ἐζήτει τῆς ὑποσχέσεως. κἀντεῦθεν ἀντ' ἀθανάτων ἵππων κλοπευτικῶς θνητοὺς
275 τῷ Ἡρακλεῖ ἀποδέδωκεν. ἀλλ' οὗτος τὴν ὕβριν τῆς ἀπάτης μὴ φέρων ὑπεχώρησεν οἴκαδε καὶ εὐθὺς τῆς Ἑλλάδος νῆας ἐξ στρατιωτῶν ἐνόπλων πληρώσας παραγέγονε βρίθει στρατιωτικῆς ἰσχύος εἰς Τροίαν καὶ ταύτην ἐπόρθησε καὶ ἀνῃρήκει τὸν Λαομέδοντα κατασκάψας ἅμα καὶ τὸν τῆς Τροίας περίβολον. ἀλλ' ὁ μὲν Ἡρακλῆς ταῦτα μαχίμως πράξας ὑπέστρεψεν οἴκαδε. ὁ δὲ υἱὸς τοῦ φονευθέντος αὐτοῦ Λαομέδοντος Πρίαμος ὀλεθρίως τὴν πόλιν ἐκείνην Τροίαν ἐκ βάθρων πάλιν ἀνήγειρε κἀντεῦθεν ταύτης εἰς τὸ ἑξῆς καὶ τῶν πέριξ αὐτῆς ἐβασίλευε δυστυχίας ἀφάτου πτῶμα πεσὼν ὁ ταλαίπωρος ὑπὸ ἥλιόν τε καὶ ταύτην τὴν Ἴλιον. μετὰ γὰρ τὴν ἅλωσιν ταύτης τὴν διὰ τοῦ Ἡρακλέους ἐκείνου αὐτῇ ἐπεισ-
276 φρήσασαι αἱ Ἀμαζόνες ταύτην κατέδραμον. καὶ πάλιν κατὰ τρίτην εἰσβολὴν ὁ Ἀγαμέμνων σὺν τῷ αὐταδέλφῳ αὐτοῦ Μενελάῳ τὸ Ἑλληνικὸν ἅπαν συγκροτήσας τῆς Ἑλλάδος ἀρεϊκὸν στράτευμα εἰς πο-

5 πύλῃ scripsi, πύλην A B a   22 περὶ a   δυστυχίας a δυστυχίαν A B   25 ἡρακλέουσ B ἡρακλέος A Ἡρακλέως a   ἐπεισφρήσασαι a ἐπισφρήσασαν A B

λιορκίαν τῆς Τροίας ἐξώρμησε τοῦτο κελευσθεὶς πάντως ἐκ μαντικοῦ φοιβάσματος καὶ κελεύσματος τὴν Ἑλένην καὶ σύνευνον τοῦ Μενελάου παρανόμως τοῦ υἱοῦ τοῦ Πριάμου Ἀλεξάνδρου (τοῦ) καὶ Πάριδος καθαρπάσαντος ὅτ' αὐτὸς δηλαδὴ παρὰ τοῦ ἀνδρὸς ἐκείνης Μενελάου ἐφιλοφρονήθη τε καὶ ἐξενίσθη καλῶς κακῶς παθόντος ὑπὸ τοῦ Ἀλεξάνδρου αὐτοῦ τοῦ ξενίσαντος. Πάρις δὲ ὁ Ἀλέξανδρος ὠνομάζετο ἀπὸ τοῦ παριέναι τουτέστιν ἐκφυγεῖν τὸν θάνατον. τῆς δὲ τούτου φυγῆς οὗτος τοῖς παλαιοῖς ὁ τρόπος 277 *διαπεφήμισται. ἡ Ἑκάβη καὶ μήτηρ τούτου ἡ δύστηνος ὄναρ πρὸ τῆς τούτου γεννήσεως τοιοῦτον πρὸς ὄλεθρον ταύτης περὶ τὸν ὕπνον πεφάντασto ὡς ἐγκυμονῆσαι δαλὸν τῇ μήτρᾳ ἀναπτόμενον καὶ φλογόεντα. κἀντεῦθεν ἐξαναστᾶσα τοῦ ὕπνου καὶ τοὺς μάντεις εἰς ἑαυτὴν προσκαλεσαμένη καὶ τὴν λύσιν καὶ σημασίαν τοῦ ὀνείρατος πρὸς τὸ μαθεῖν αὐτοὺς ἐρωτήσασα παρὰ τούτων εὐθυβόλως ἐμάνθανεν ὡς μὴ ὤφελεν ὅτι τέξεις υἱὸν καταφλέξοντα τὴν Τροίαν καὶ ταύτην ἐκδαπανήσοντα. ὃς πάντως ἦν οὗτος ὁ Πάρις Ἀλέξανδρος. καὶ δήπερ ἡ τέξασα ἀναμαθοῦσα τὸ φοίβασμα ἐνεδομύχει τοῦτο περιδεῶς μέχρι τοῦ φθαρτικοῦ τοκετοῦ. ὅτε δ' αὖ ὁ Ἀλέξανδρος* 278 *συλληφθεὶς τῇ μητρὶ καὶ τελειωθεὶς πρὸς τὴν ἔξοδον τῆς μήτρας ἐξέθορεν ὑπὸ ἥλιον, τότ' εὐθὺς ἡ μήτηρ λαθρηδὸν τὸ βρέφος εἰς σωτηρίαν δῆθεν τῆς Ἰλίου πόρρω ἐξέωσε καὶ εἰς τὴν Ἴδην τὸ ὄρος τοῦτο ἐξέθετο λαθραῖον αὐτῷ τάχα καὶ ἄσχημον*

4 *τοῦ* addidi 9 *παριέναι* A B *περιέναι a* 14 *ἀναπτόμενον — φλογόεντα* B *ἀναπτομένου — φλογόεντος a* 19 *καταφλέξαντα* B 20 *ἐκδαπανήσοντα* ex *ἐκδαπανήσαντα* B 22 *ἐνεδομύχει* (sic) A B *a* 28 *ἄσχημον* scripsi *εὔσχημον* A B *a*

θάνατον μελετήσασα πρὸς τὸ συναναιρῆσαι τὴν τοῦ πεπρωμένου ἀπόβασιν. ἀλλὰ τοῦ μέλλοντος τὰς ἄρκυς οὐ διέφυγε τῇ δεινῇ μηχανουργίᾳ ἡ δυστυχὴς καὶ ταλαίπωρος. ποιμὴν γάρ τις συνελαύνων περὶ τὴν Ἴδην εἰς βρῶσιν πόας τὸ ποίμνιον τὸ βρέφος εὗρε περὶ δένδρου ῥίζαν κείμενον ἔρημον ἀνθρωπίνης τινὸς περιθάλψεως. καὶ δὴ θαυμάσας τὸ θέαμα τὸ
279 βρέφος φιλανθρώπως ἐνεκολπίσατο τῇ πράξει τὴν τῆς μητρὸς σαφῶς ἐξελέγξας ἀπήνειαν. πατρικῶς, περιθάλψας ἔτι τὸ νήπιον καὶ ἀγαγὼν εἰς πόλιν τινὰ καὶ ἀνάξας αὐτὸ εἰς ἡλικίαν ἀνδρότητος φιλίως, τοῦτο περὶ τὰς πράξεις ἐκέλευε διανίστασθαι. ἀλλά γε ποτὲ τῶν καιρῶν ἀφύκτως τὸ πεπρωμένον ταῖς ἀκοαῖς τῆς μητρὸς τὴν ἱστορίαν ταύτην ἀπεσφενδόνησεν, ἥτις πάλιν ὡς ἐκ κάρου λήθης τῆς ἀπηνους πράξεως ἐξαναστᾶσα σχέσει μητρῴᾳ πάλιν τὸν παῖδα ἐνεκολπίσατο, ἵνα τὸν τρόπον καὶ τὰ μεταξὺ τῆς ἐπανόδου τοῦ παιδὸς χαίρειν ἐάσαιμι. ἐπεὶ δ' ὡς εἴρηται, τὸ πεπρωμένον ἐτύγχανεν ἄφυκτον, Φέρεκλός τις ἀνὴρ δύο νῆας πρώτως ἐτέκτηνε τῷ Ἀλε-
280 ξάνδρῳ τούτῳ, δι' ὧν αὐτὸς ἀπέπλευσε τῆς Τροίας πρὸς τὴν Ἑλλάδα καὶ τὴν Ἑλένην ἀπανθρώπως καθήρπασε καὶ εἰς Τροίαν πλόῳ μετήγαγε, δι' ἣν καὶ τῶν Ἑλλήνων καὶ Τρώων ὁ φόνος, ἡ θεήλατος λεηλασία καὶ τἄλλα εἰς τὸν χῶρον κακῶς τῆς Τροίας γεγόνασιν. οὕτως ἄρα ὁ Πάρις οὗτος Ἀλέξανδρος τὸν μόρον ἐξέφυγε καὶ τὴν παράνομον ἁρπαγὴν τῆς Ἑλένης ἐτέκτηνεν ἣν Ἑλλήνων παῖδες τῇ τερπωλῇ τῆς θέας αὐτῆς περιθρυλλοῦσι θεοείκελον. λαβέτω

10 τὸν ἤπιον B 17 ἐνεκολπίσατο a ἐνεγκολπίσατο A B 20 πρῶτος a 23 πλόων a 26 οὕτως pro οὗτος a

τοίνυν ἅπας βροτείου φυράματος ἔννοιαν ἀπαράβατον ἐκ τῆς παρούσης θαυμαστῆς ἱστορίας ὅτι τὰ προβεβουλευμένα θεῷ πάντως καὶ μέλλοντα τίκτεσθαι μηχανουργία βροτῶν πονηρίας ἀπορραπίζειν οὐ δύναται μάτην πονοῦσα, μάτην δόλους συρράπτουσα 281
ὡς μὴ ὤφελεν ὑπὸ ἥλιον. ἀτὰρ τούτων προβάντων πάντα τῇ Τροίᾳ τὰ δεινὰ συμβεβήκασι καὶ τοῖς Ἕλλησιν ὅσαπερ τῶν εἴκοσι τεσσάρων τοῦ ποιητοῦ γραμμάτων τὸ πλῆθος ἡμῖν διεσάφησε. τοίνυν ὁ Ἀχιλλεὺς μετὰ τὸ ἀναιρῆσαι τῇ τῆς Ἀθηνᾶς συμμαχίᾳ τὸν τῇ ἀνδρείᾳ περιβόητον Ἕκτορα συνενόει τοὺς Τρῶας εἰς παντελῆ καὶ πάνδημον φθορὰν ὑποσυρέντας τοῖς Ἕλλησι. καὶ δήπερ ὁ ἄγριος τὴν συνείδησιν ἐρασθεὶς τῆς τοῦ Πριάμου θυγατρὸς Πολυξένης εἰς ἡμερότητά τινα τῷ ἔρωτι τὴν ἀγριότητα τούτου μετήμειψε καὶ λαθραίας μετὰ τοῦ Πριάμου σπονδὰς ἐπικουρίας αὐτὸς μελετῆσαι βεβούλευτο. ἐντεῦθεν 282
περὶ τῶν σπονδῶν ἀναμαθὼν παρὰ τοῦ τοῦ Ἀχιλλέως μηνύματος ὁ ταλαίπωρος Πρίαμος τῇ ἐπειγωλῇ τῆς ἐφεστώσης ἀνάγκης ὑπέκυψε γηραλέως τῷ τοῦ Ἀχιλλέως βουλήματι καὶ τὴν θυγατέρα δοῦναι τούτῳ ὑπέσχετο, ὃς τῷ ταύτης ἀποτυφλωθεὶς ἀληθῶς ἔρωτι τὸ πεπρωμένον καὶ τὸ τῆς τύχης ἠγνόησεν ἄδηλον. ἅπερ ἡ μήτηρ τούτου Θέτις ἐξ ἁλὸς αὐτῷ προεφοίβασεν. „ἀναιρεθήσῃ" γάρ „ὦ υἱέ, ὑπ' Ἀλεξάνδρου τοῦ Πάριδος" τῷ υἱῷ ἡ μήτηρ ἐφοίβασεν. ἀμέλει εἰς τὸν ναὸν τοῦ καλουμένου Θυμβραίου Ἀπόλλωνος συνελθὼν ὁ Ἀχιλλεὺς τῷ Πριάμῳ πρὸς τὸ ἐμπεδῶσαι τὴν τῆς Πολυξένης μετ' αὐτοῦ σύζευξιν τῶν Ἑλλή-

18 τοῦ τοῦ A τούτου B τοῦ *a* 19 μηνύματα *a* ἐπαγωγῇ *a* 21 δ' οὖν *a* 25 ἀναιρεθήσει *a*

νων καὶ τοῦ Ἀγαμέμνονος ὅλως ἀγνοησάντων τὸ 283 λαθραῖον τοῦτο τοῦ Ἀχιλλέως σκαιώρημα, ἀπροόπτως ἡ Τύχη τὰ κατὰ τούτου συνέκλωθεν ἀτράκτῳ τῆς ἀναιρέσεως, ἥτις καὶ παρένυξε τὸν Ἀλέξανδρον τῷ πατρὶ κατὰ καιρὸν ὁμιλίας συμπαρεῖναι τῷ γέροντι. καὶ δήπερ αὐτὸς θεασάμενος ὁ Ἀλέξανδρος τὸν Ἀχιλλέα τῷ πατρὶ προσελθόντα καὶ λάθρα προσομιλήσαντα, λαθρηδὸν πικρῷ ὀιστεύματι τοῦτον ἐτόξευσε καὶ εὐθέως ἀνήρηκεν ὁ φύσει δειλὸς οὗτος τὸν τῇ ἀνδρείᾳ θρυλλούμενον καὶ τῇ μήνιδι περιβόητον. ἐπεὶ δ' οὐ μόνως ἡ μήτηρ φονευθῆναι τὸν υἱὸν παρὰ τοῦ Ἀλεξάνδρου ἐφοίβασεν ἀλλὰ καὶ παρὰ τοῦ ῥηθέντος Θυμβραίου Ἀπόλλωνος, μή τις ἐννοήσειεν ὡς αὕτη τὸ φοίβασμα διεψεύσατο παρὰ μέρος καὶ οὐ καθ' ὁλό- 284 κληρον ἀληθεύσασα. εἰ γὰρ καὶ σωματικῶς ὁ Ἀπόλλων οὐ συμπαρῆν τῷ Ἀλεξάνδρῳ εἰς τὸν φόνον τοῦ Ἀχιλλέως, ἀλλ' οὖν συνεργάτης ἀφανῶς τούτῳ τοῦ φόνου ἐτύγχανε περὶ τὸν ναὸν αὐτοῦ τελεσθέντος φημὶ τοῦ Ἀπόλλωνος. οὕτως δίκην ὁ Ἀχιλλεὺς προσήκουσαν ὤφλησε τῇ περὶ τὸν Ἕκτορα τούτου ἀπανθρώπῳ καὶ ἀτεράμονι μήνιδι φιλοσόφως τοῦ ποιητοῦ φάσκοντος ὡς εἰ καὶ πάθῃ τις ἅ κ' ἔρεξε, δίκη τ' ἰθεῖα γένοιτο. οἶμαι γοῦν ὡς Ἀλέξανδρος τοῦτον ἀνήρηκε φθόνῳ τοῦ συναλλάγματος ἐντεῦθεν δι' ἀληθείας τῆς φονικῆς ταύτης αὐτῶν συνελεύσεως. ὁ Πρίαμος καὶ διὰ ταῦτα ὁ γέρων ὁ ἄθλιος ἐντὸς εἰσῆλθε πάλιν τοῦ ἄστεος τῇ λύπῃ κατάκομος·

3 τούτον B 9 ἐνήρηκεν B 11 μόνως a μόνος A B 14 περὶ a 21 ἀτεράμνῳ a 22 πάθῃ τὰ a Hesiodi carmina rec. Goettlingius fragm. CCXVII: εἴ κε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο 23 γοῦν ὁ a 27 ἄστεως a

*οἱ δ' Ἕλληνες εἴχοντο τῆς προτέρας σπουδῆς συν-
τονώτερον, πρὸς τῆς Τροίας τὴν πόρθησιν ἐπαπο-* 285
*ροῦντες τὰ μέγιστα. ἐννέα γὰρ ἐνιαυτοὶ παρῆλθον
μέχρι τῆς Τρωικῆς ἁλώσεως ἀφ' ὅτου πάντες εἰς
Τροίαν ὀλεθρίως παραγεγόνασιν Ἕλληνες. ἀλλὰ περὶ
τὸ δέκατον ἔτος τοῦ ἄστεος τῆς πορθήσεως Ἐπειός
τις, Τρίτων ὀνομαζόμενος, ἵππον ξύλινον τελαμώνιον
κατεσκεύασε κινεῖσθαι τροχώμασι τὸν καὶ λεγόμενον
δούρειον ἐκ τοῦ λέγεσθαι δοῦρα τὰ ξύλα τοῖς πα-
λαιοῖς, συμβούλου τῆς τοῦ ἵππου τεχνικῆς διαπλά-
σεως καὶ τοῦ Ὀδυσσέως ὑπάρχοντος. σὺν γοῦν
τούτῳ καὶ τῷ Μενελάῳ ὁ Ἐπειὸς ἀρεϊκοὺς ἄνδρας
Ἕλληνας σὺν τῷ Τελαμωνίῳ Αἴαντι καὶ τοῖς συμ-
βούλοις αὐτοῖς παρεσκεύασεν εἰσελθεῖν χιλίους ἑκα-* 286
*τὸν εἰς τὸ κοίλωμα τῆς γαστρὸς τοῦ ἵππου ἐνόπλους
ξένῃ μηχανουργίᾳ καὶ ἀπάτῃ καινοτέρᾳ Τρωικῆς
ὁμηγύρεως. ὧν δήπερ ἀνδρῶν περὶ νύκτα μίαν ὑπο-
δύντων εἰς τὸν πυθμένα τὸν ἵππειον τῆς γαστρὸς πρὸς
τὰς πύλας τῆς Τροίας τὸν ἵππον ἠρεμαίως ἐκίνησαν
Ἕλληνες εὐωχουμένων τῶν Τρώων καὶ ταῖς πύλαις
οὕτω προσήγγισαν. ἀλλ' ὑπεπόδισαν Ἕλληνες, καὶ
Τρῶες μετὰ μικρὸν ἄνωθεν τῶν ἐπάλξεων εἶδον τὸν
ἵππον περὶ τὰς πύλας ἱστάμενον καὶ ὡς ἀληθῶς
ἐξεπλάγησαν ὑποτοπάσαντες τὸ θέαμα εἶναι θε-
όπεμπτον. ἐντεῦθεν πρὸς ἀλλήλους λογισμοῖς ἀμφι-
βόλοις συνεταράσσοντο οἱ μὲν λέγοντες εἶναι θνητὸν
τὸν ἵππον καὶ χειρῶν βροτείων τὸ τέχνασμα, οἱ δὲ
θεόπεμπτον τοῦτο καὶ ἀθανάτου μοίρας τὸ θέαμά
τε καὶ πόρισμα. τηλικαύτης τοίνυν ἀμφιβολίας ἀνα-* 287

14 ἀῤ A B   16 *καινοτέρα* A *καὶ καινότερα* B *a*   20 *εὐωχουμένων — Ἕλληνες* om. *a*   28 *τοῦτον a*

κυψάσης οὐ τόλμαν εἶχον βαλεῖν τὸν ἵππον ἄνωθεν τῶν ἐπάλξεων, ἀλλ' ὅμως μετά τινα χρόνον ὀλίγον πάντῃ τοιάνδε τὸ τῶν Τρώων πλῆθος συμβουλὴν καθ' ἑαυτοὺς συνεστήσαντο ὡς εἰ παρ' ἡμῶν ὁ ἵππος βληθείη ἄνωθεν διὰ βέλους καὶ δόρατος κἀκ τῆς τρώσεως αἷμα θεαθῇ παρ' ἡμῶν ἐκχεόμενον, γνώσομεν πάντως εἶναι τὸν ἵππον θεόπεμπτον καὶ περίπλεων συναισθήσεως καὶ οὕτως αὐτὸν τῆς πύλης ἐντίμως ἐντὸς εἰσαγάγοιμεν· εἰ δὲ μετὰ τὴν τρῶσιν οὐ θεασοίμεθα λύθρον τοῦ ἵππου χεόμενον, τότε ἂν αὐτὸν καταθλάσομεν κρούμασιν οἷάπερ χειρῶν ἀνθρωπίνων ὑπάρχοντα τέχνασμα. ἀτὰρ τῶν
288 *Τρώων τοιαῦτα συμβουλευομένων ἐν ταραχῇ καὶ κλόνῳ τοῦ πράγματος οἱ Ἕλληνες ἐντὸς τοῦ ἵππου καθήμενοι ἔνοπλοι τῆς συμβουλῆς ἤκουον. καὶ δὴ λοιπὸν ὁ Ὀδυσσεὺς ἐπιστάμενος ὅτι πάντων τῶν περὶ τὴν Τροίαν δεινῶν καὶ τῶν συμβεβηκότων ἐκ τῆς διαμάχης τοῖς Ἕλλησι καὶ τῆς τοῦ δουρείου ἵππου κατασκευῆς ὁ Μενέλαος καὶ οὐκ ἄλλος τῶν Ἑλλήνων αἴτιος γέγονε τῇ ἁρπαγῇ τῆς Ἑλένης, αὐτῷ τῷ Μενελάῳ δικαίως ὑπεψιθύρισε τοῦτο δὴ τὸ ᾀδόμενον ὡς „ὁ πονῶν θήσει μηρόν“, ὥσπερ εἰ εἶπεν ὅτι σὺ πάντων ἡμῶν, ὦ Μενέλαε, ἐπέκεινα διὰ τὴν ἁρπαγὴν τῆς συνεύνου καὶ τῆς Τροίας τὴν πόρθησιν ἄλγος ὑποτρέφεις τῇ καρδίᾳ φλογόεν καὶ ἐκδαπανῶν σου τὴν αἴσθησιν. λοιπὸν σὺ τὸν μηρὸν ἐξ ὀπῆς τινος*
289 *τοῦ ἵππου προτείνειν ὀφείλεις τῇ τρώσει τῶν μελετώντων ἄνωθεν ταύτην ἐργάσασθαι, ἵν' αἵματος*

1 *τόλμην a* *βαλλεῖν* B 4 *εἰ παρ'* A *εἴπερ'* B *εἶπερ a* 7 *πάντες* B *τὸν ἵππον εἶναι a* 9 *ἐντὸς εἰσαγάμιγοεν* A *ἐντὸστοῦσαγάγοιμεν* B *ἐντὸς τοῦτον εἰσαγ. a* 11 *τότ' a* *καταθλάσομεν a* *καταθλάσσομεν* A B 18 *καὶ τῆς a* *καὶ τοῖς* A B

τοῦ μηροῦ σοι ἐκρεύσαντος οἱ Τρῶες ἔμψυχον εἶναι καὶ θεόπεμπτον τόνδε τὸν ἵππον ὑποτοπάσωσι καὶ πτοηθέντες τῇ θέᾳ τῆς βολῆς τῶν βελῶν παυθεῖεν καὶ οἷάπερ θεόπεμπτον ἐντὸς τοῦ ἄστεος αὐτὸν εἰσαγάγοιεν. κἀκεῖθεν κατὰ τῶν Τρώων ἡμεῖς ἐξερπύσομεν ἔνοπλοι καὶ τὴν πόλιν οὕτω πορθήσομεν. ταῦτ' ἄρ' ὁ Ὀδυσσεὺς ἅπαντα συνετῶς ὡς συνετὸν τὸ „ὁ πονῶν θήσει·μηρόν" τῷ Μενελάῳ ἐφθέγξατο καὶ δήπερ αὐτὸν τοῖς ῥήμασι παρεσκεύασε θεῖναι μηρὸν ἐξ ὀπῆς τινος τῆς τοῦ ἵππου κατασκευῆς τῆς ἀπονευούσης μᾶλλον πρὸς τὴν τρῶσιν ἄνωθεν ποιῆσαι θελήσαντας. ἀμέλει τὸν ἵππον οἱ Τρῶες τοῖς βέλεσιν ἔτρωσαν καὶ τοῦ Μενελάου ηὐστόχησαν τοῦ 290
μηροῦ. κἀντεῦθεν τὸ αἷμα τῆς ἐπιφανείας τοῦ ἵππου ἐξέθορεν· ὅθεν ἰδόντες ἀστυπόλοι τὸ θέαμα πάντες σάλῳ φωνῆς καὶ νοὸς τῇ κουφότητι συνεβόησαν ἄνωθεν τὸν ἵππον ὄντως εἶναι θεόπεμπτον καὶ θεόληπτον, μὴ μᾶλλον εὐφρόνως συλλογισάμενοι οἱ πεδηθέντες τὸν νοῦν μάταιοι παραδόξῳ κουφότητι διανοίας ὡς εἰ ἦν ὁ ἵππος ἐξ οὐρανοῦ κατιὼν θεοπροπίᾳ τινὶ καὶ θεοῦ νεύματι, ἄφθαρτος ἂν μᾶλλον ἐτύγχανε καὶ ἀνώλεθρος χερσὶν ἀνθρωπείαις καὶ τρώσεσιν. ταῦτ' ἀλληνάλλως φαντασθέντες εἰς ὄλεθρον αὐτοῖς ἐπὶ θύραις ἱστάμενον τὰς τοῦ ἄστεος πύλας ταχέως οὕτως ἀνέῳξαν καὶ τὰ παρ' ἑκάτερα 291
μέρη τοῦ τοίχου τὰ συσφίγγοντα τὰς πύλας ἀνώρυξαν πρὸς τὸ χωρηθῆναι ῥᾷον τὸν ἵππον ἐκεῖνον τὸν

2 καὶ priore loco om. B 5 τῶν om. B *a* 6 πορθήσομεν *a* πορθήσειεν A B 7 ἄρ ὁ A ἄρ' B ἄρα *a* συνετὸν scripsi, συνετὸς A B *a* 12 θελήσοντας *a* 13 ἐυστόχησαν B 23 ταῦτα *a* 25 ταχέως *a* τυχέως A B παρεκάτερα *a* παρ' ἑκάτεροι A B 26 τοίχου *a* τείχου A B

τελαμώνιόν τε καὶ δούρειον εἰς τὴν εἴσοδον. ταῦτα μὲν οὖν οἱ Τρῶες κούφως εἰργάζοντο καὶ οἱ Ἕλληνες οἷάπερ ἀληθῶς λέοντες εἰς ὑπογάστριον λόχον ξυνεδριάζοντες καὶ λαθρηδὸν κατὰ θηρὸς ὑποβρύχοντες εἰς βορὰν ἤδη προκειμένου τούτων τοῖς στόμασι καὶ τοῖς ὄνυξιν ηὐτρεπίζοντο. καὶ δήπερ οἱ Τρῶες τὸν ἵππον ἐντίμως ἄγαν τοῦ ἄστεος ἐνδοτέρω μεθείλκυσαν καὶ εὐθέως τῶν ἐκτὸς ἀλλεπαλλήλοις κλαγγαῖς τὸ Ἑλληνικὸν ἅπαν ἐβόησε στράτευμα ἐπινίκιον ὑποτοπάσαν εὐστόχως τὸ μετὰ μικρὸν τοῖς Τρωσὶ δεινῶς ἐλευσόμενον. ὁπηνίκα γὰρ ἐντὸς
292 εἰσῆλθεν ὁ δούρειος, οἱ ἐν τῇ γαστρὶ τούτου ἠρέμα πρὶν καθεζόμενοι ἀρεϊκῇ βοῇ ἅπαντες εἰς τὸ φῶς συνεξέθορον ἔνοπλοι καὶ μηροῦ τὰ ξίφη τἀντεῦθεν ἐρύσαντες ἀρεϊκῶς κατὰ τῶν Τρώων ἐχώρησαν, οὓς ὀξύτητι ξίφους καὶ μαρμαρυγαῖς πανοπλίας ὁμοθυμαδὸν κατεσπάθιζον τοιοῦτοι ὄντες τὴν ἀνδρείαν καὶ ἡλίκοι τῶν σωμάτων τὸ μέγεθος καὶ ταῦτα καὶ τοῦ Τελαμωνίου Αἴαντος τοῖς ἀνδράσι τούτοις ξιφηφόρου ξυνεδριάζοντος. ἀλλά γε τοὺς κατασπαθιζομένους οὕτω Τρῶας καὶ φεύγοντας εἴσω τοῦ ἄστεος τοῦ πλάτους τούτου συνήλαυνον πρὸς αὐτὸν οἰκτρῶς τὸν περίβολον. ὁ γοῦν ὄλεθρος τοῖς Τρωσὶν ἐντεῦθεν ὁ μέγας τε καὶ ἀείμνηστος, τοῖς δ' αὖ Ἕλλησιν ἡ χαρμοσύνη τῆς νίκης καὶ τὸ κλέος ὑπέρογ-
293 κον. ἅπαν γὰρ τούτων τὸ ἄθροισμα τῶν ἐκτὸς ἐπέβρισε τῷ περιβόλῳ τῆς πόλεως καὶ οὕτως ἡ πολυθρύλλητος τῆς Τροίας τετέλεστο τοῖς Ἕλλησι

1 δούρειον *a* δούρι A B 4 συνεδρ. B *a* 8 ἐντὸς *a* 10 ὑποτοπάσαν *a* ὑπὸ τὸ πᾶσαν A B 13 ἀρεϊκῇ A ἀρεικῶν B ἀρεϊκῶς *a* 14 τἀντεῦθεν scripsi, κἀντεῦθεν A B *a* 18 τοιαῦτα B *a* 20 συνεδρ. *a* κατασπαθεζομένους B 27 ἐπέβρισε A ὑπεβρίασε B *a* 28 τελέστο B

*πόρθησις. ἀμέλει τοιούτου θεάματος καὶ πανωλέθρου
φόνου ἐπεισφρησάντων τῷ Πριάμῳ τῷ γέροντι τῷ
ναῷ τοῦ Ἀπόλλωνος φεύγων αὐτὸς προσῆλθεν ὁ
δείλαιος φυγῇ τὴν σωτηρίαν πραγματευσόμενος.
ἀλλά γε τοῦ ἄστεος κατασκαφέντος τοῖς Ἕλλησιν —
ὢ τῆς ἀπηνείας καὶ δυσσεβοῦς ἀναιδείας ἐκείνης —
ὁ υἱός φημι τοῦ Ἀχιλλέως ὁ Νεοπτόλεμος κατὰ μή-
νιδα καὶ θυμόν, ὡς ἔοικε, τῷ πατρὶ ὁμοιούμενος
ἀναιδῶς εἰσῆλθε ξιφηφόρος εἰς τὸν ναὸν τοῦ Θυμ-
βραίου Ἀπόλλωνος καὶ ἀνῃρήκει τὸν ἄθλιον φεῦ καὶ
πολύτλητον γέροντα Πρίαμον ἀνοσίου ὄντος τὸν
φόνον εἰς ναὸν θεοῦ γίνεσθαι καὶ λύθρων βρο- 294
τείων τὴν ἔκχυσιν. καλῶς οὖν ὁ Εὐριπίδης τὸν
Νεοπτόλεμον μιαιφόνον ὠνόμασεν ὡς ἀνοσίῳ μιαν-
θέντα καὶ δυσθρησκεύτῳ φόνῳ τοῦ γέροντος. τοῦτο
γὰρ τέλος φευκτὸν πολυπλόκων δυστυχημάτων τῇ
τοῦ γέροντος ἀθλιότητι πέπρωτο.*

*Οὕτω μὲν ταῦτα. ἐπειδὴ δὲ τὸν μοιχὸν ἐκεῖνον
τὸν Αἴγισθον τῆς Κλυταιμνήστρας τῆς συνεύνου τοῦ
Ἀγαμέμνονος τὸν σὺν ταύτῃ ἀνῃρηκότα τὸν Ἀγα-
μέμνονα ὁ υἱὸς τούτου Ὀρέστης νήπιος ὢν κατὰ
χρόνον τοῦ φόνου τοῦ πατρὸς καὶ ἀνδρωθεὶς τὸν
μοιχὸν καὶ τὴν μητέρα εἰς ζῆλον ἀγαθὸν τοῦ πα-
τρὸς ἀνῄρηκε καὶ εἰς εὔνοιαν προσῆν σὺν τῷ φίλῳ
Πυλάδῃ, εἵλκυσε τὸν Ὀρέστην αὐτὸν ὕστερον μετὰ 295
τῆς Τροίας τὴν ἅλωσιν ὁ Μενέλαος σὺν τοῖς τῶν
Ἑλλήνων προέχουσιν εἰς ἀντίποινον φόνου τῆς τού-
του μητρὸς παντὸς [τοῦ] μητροκτόνου ἀνοσιουργοῦ*

3 *νεῷ a* 11 *τὸν φόνον* scripsi, *τοῦ φόνον* B *τοῦ φόνου* A *a* 13 Eur. *Hec.* 24 24 *προσῆν a πρὸσ ἦν* B *πρὸς ἦν* A 25 *Πυλάδης a* 27 *πόνον a* 28 *ἀνοσιεργοῦ* A B *a* quod correxi cf. p. 76, 26

πάντως τυγχάνοντος. ἐδυσωπεῖτο γὰρ ὁ Μενέλαος ὑπὸ τοῦ πατρὸς τῆς Κλυταιμνήστρας, τῆς συνεύνου τοῦ Ἀγαμεμνόνος, τοῦ ὀνομαζομένου Τυνδάρεω — καὶ γὰρ καὶ ἡ Ἑλένη θυγάτηρ τούτου ἐτύγχανε — πρὸς τὸ φονεῦσαι τὸν Ὀρέστην εἰς τῆς ἑαυτοῦ μητρός, ὡς εἴρηται, τὸ ἀντίποινον. ἀλλὰ δήπερ ὁ Πυλάδης κατὰ φιλίαν ἄφραστόν τε καὶ ζέουσαν προθανεῖν τοῦ Ὀρέστου τοὺς φονευτὰς ἐξεβίαζε καὶ ὁ Ὀρέστης αὖ ὑπὲρ τοῦ φίλου τούτου προτιμᾶν ἤθελε τὸν ἑαυτοῦ θάνατον. ὅμως δὴ καὶ ἀμφότεροι μία
296ψυχὴ τυγχάνοντες φιλίᾳ ὡς ἐν δυσὶ σώμασι καὶ τὸ κατεπεῖγον τοῦ θανάτου συλλογισάμενοι γοργῶς τὴν Ἑλένην εἰς θέατρον τοῖον καθείλκυσαν πρὸς τὴν τοῦ Μενελάου πτοίαν τε καὶ κατάπληξιν, ὡς εἰκός, ἧ Ἑλένης ἀπογυμνώσαντες τὸν τράχηλον τοῦ ἐνδύματος τούτῳ τὸ φάσγανον φρικτῶς προσεπέλασαν πρὸς τὸ τὴν ἐκτομὴν τῆς κεφαλῆς ἐξεργάσασθαι. μικροῦ τοίνυν τὸ τῆς ἀπηνείας ἔργον ἐτέλεσαν ἄν, εἰ μὴ θεοὶ τὴν Ἑλένην οἰκτείραντες εἰς οὐρανοὺς τῶν φονικῶν χειρῶν ἀθρόον ἀφήρπασαν τῆς σφαγῆς ταύτης ἐλευθερώσαντες τήνδε. ἀλλ' ἡμῖν τούτοις οὐχ εὕρηται τοῖς τῶν παλαιῶν πίναξιν, ἐξ ὧν καὶ ταῦτα πόνῳ ἠθροίσαμεν, εἰ μετὰ τὴν ἁρπαγὴν τῆς Ἑλένης
297καὶ ὁ Ὀρέστης ἀνῃρέθη παρὰ τῆς τοῦ Μενελάου τότε μεταχειρίσεως. ἄτοπον δὲ τὸ φονευθῆναι τὸν Ὀρέστην ἀνοσιουργὸν μητέρα φονεύσαντα τὴν τὸ πατρῷον τούτου αἷμα καταληστεύσασαν ληστρικῶς καὶ εἰς χοῦν ἀρούρης τῷ ξίφει ἐκχύσασαν· ἔδει γὰρ

10 δὲ *a* 11 τὸ scripsi, τι A B *a* 15 ἧ B *a* ἧς A
16 τούτω B *a* τοῦτο ex τούτω A[1] 21 τήνδε A τὴν δὲ B *a*
25 μεταχειρίσεως *a* μεταχειρήσεως A μεταχείρησεν B

πάντως θανεῖν τὴν μοιχευθεῖσάν τε καὶ φονεύτριαν,
μοιχείαν φεῦ ἀνδρὸς ἄνακτος τοίου συρράψασαν.

Ἀτὰρ ὁ Πάρις Ἀλέξανδρος πρὸς τὴν ἁρπαγὴν τῆς Ἑλένης τὸν Ἀχιλλέως ἐπίκλοπον θάνατον τοξείᾳ καὶ δόλῳ μηχανησάμενος θεοῦ νεύματι, δίκην ὁμοίαν σφαγῆς καὶ θανάτου τῷ χοῖ ὁ ἄθλιος ἀνταπέδωκεν ἀλαζονείᾳ τοξείας ἑαυτῷ συρράψας τὸν θάνατον. τῷ γὰρ Φιλοκτήτῃ πρὸς ἅμιλλαν συνελθὼν κατ' ἔριδα τοξικῆς γε μεταχειρίσεως ἐκείνῳ τῷ χρησαμένῳ περὶ 298 *τὴν νῆσον τῷ Ἡρακλείῳ πάλαι τόξῳ καὶ εὐστόχως βάλλοντι τὰς πελείας, καθάπερ ὁ ποιητὴς ἔφησεν, ὑπὸ τούτου καὶ τῶν τούτου βελέμνων ἀνῄρηται ὀφθαλμὸν βληθεὶς ὁ ἄθλιος καὶ χεῖρα καὶ τὸν ἀστράγαλον τριττῇ τῶν βελῶν ἀφέσει τούτου δὴ τοῦ τοξεύσαντος. οὕτω δήπερ ἐν ἄλλοις θανατοῦντες τοὺς ὁμοπλάστους ἐν ἄλλοις κρίσει προνοίας εὐθέτου θνήσκειν ἀθλίως πεφύκαμεν.*

Οἱ γοῦν Ἕλληνες μετὰ τὴν τῆς Τροίας ἅλωσιν καὶ ταύτης τὴν παμβόητον πόρθησιν ὑπονοστήσαντες εἰς τὸν ναύσταθμον καὶ ξυναυλισθέντες ἐν τῇ Αὐλίδι, ἐν ᾗ συμβουλαῖς ἀεὶ συνήρχοντο, καὶ βουλευσάμενοι ταῖς ναυσὶν ἀποπλεῦσαι τοῦ ναυστάθμου πρὸς πόντον καὶ ἀπελθεῖν εἰς Ἑλλάδα ἐκωλύοντο 299 *πρὸς τὸν πλοῦν τῇ τῶν πνευμάτων ἀντιφορᾷ. καὶ δήπερ τοῦ προσφαγέντος Ἀχιλλέως τὸ εἴδωλον περὶ μιᾶς νυκτὸς τὴν σκοτόμαιναν ἐπεφάνη τοῖς Ἕλλησι τούτοις ἀποφηνάμενον κατὰ τὸν πρότερον διάπυρον ἔρωτα ὃν ὑπέτρεφεν Ἀχιλλεὺς τῇ καρδίᾳ πρὸς τῆς Πολυξένης τὸ μνήστευμα, ὡς, ὦ Ἕλληνες, οὐκ ἄλλως εὐπλοίας τύχητε ῥᾳόνος, εἰ μὴ τῷ ἐμῷ τάφῳ τὴν*

3 πρὸς a πρὶν A B 11 Soph. *Phil.* 288

Πολυξένην αὐτὴν σφαγιάσαντες θύσητε. ἀτὰρ εὐθὺς οἱ ἀκροαταὶ τὴν οἴκαδε γλιχόμενοι θεάσασθαι παλινόστησιν τὴν κόρην ἀνενδοιάστως τῶν χειρῶν τῆς ἀθλίας καὶ γηραλέας Ἑκάβης ἀφήρπασαν πολλὰ γονυκλιτησάσης καὶ παρακαλεσάσης ὀλολυγμοῖς ἀνοήτοις τὸν Ἀγαμέμνονα ὑπὲρ τῆς τοῦ θυγατρίου
300 *αὐτῆς ἐκλυτρώσεως. ἀλλὰ τῶν ἀγκαλῶν ταύτης — ὢ δυσδαίμονος καὶ πολυθρυλλήτου βίας — τὸ μόνον καταλειφθὲν τῇ ταλαίνῃ μητρὶ τοῦτο θυγάτριον ὑπεκσπάσαντες Ἕλληνες τῷ τάφῳ τοῦ Ἀχιλλέως ἀπηνῶς καὶ λίαν παρανόμως ἀπέσφαξαν λύθρον ἀνόσιον ὑπὲρ λύτρου πλοὸς τοῖς θεοῖς θύσαντες κατὰ τοὺς τρόπους πάντως τῆς τραγικῆς ὑφηγήσεως. οὕτως ἡ πρὶν μὲν πολύπαις Ἑκάβη, γηραλέα βασίλισσα, ἄπαις ὑστάτως, οἰκέτις, αἰχμάλωτος, ἀθλία γεγένηται, ἔνθεν κἀκεῖθεν περιπλαζομένη καὶ εἰς ἐπικουρίαν δῆθεν ἀθήρευτον λυσίθριξ ἐκτρέχουσα, τὰς παρειὰς καταξέουσα καὶ γονάτων βαρυαλγήτοις στεναχαῖς ἁπτομένη δυναστευόντων Ἑλληνικῆς ὁμη-*
301 *γύρεως, πάντων αὐτῆς τῶν παίδων οὕτως ὑπὸ φθορὰν ἀχθέντων ὑπὸ τὸν ἥλιον οἰκτρῶς ἥλιε. ταῦτα δὴ τὰ τῆς τύχης ἐνωραΐσματα, ταῦτα τοῦ βίου τὰ τοῖς βροτοῖς δυστερπῶς γε συμβαίνοντα, πρὸς ἅπερ ὁρῶντας ἡμᾶς δέον φρούδην ἡγεῖσθαι τοῦ βίου τὴν περιπέτειαν καὶ μόνως ἀφορᾶν εὐχαρίστως πρὸς τὴν ἄνωθεν πρόνοιαν, ἥτις ἄρα μηχαναῖς βροτείαις οὐ πέφυκεν ὑποκλέπτεσθαι. ἀλλ' ὁ*

2 *παλιννόστησιν a* 7 *αὐτῆς* non *αὐτῆς* AB *a* 8 *πολυθρυλλήτου* scripsi, *πολυτλήτου a πουτλήτου* AB 17 *λυσόθριξ* A *λυσότριξ* B *a* quod correxi 19 *στοναχαῖς a* 20 *τὸ παίδιον* B 23 *τὰ τοῖς βροτοῖς δυστερπῶς* A *τὰ τοῖσ δυστερπῶσ* B *τὰ δυστερπῶς a* 25 *μόνον a* 27 *βροτείοις a*

πρὶν μὲν φίλος αὐτῆς τῆς Ἑκάβης Πολυμήστωρ, ὕστατα δὲ κατὰ καιρὸν δυστυχίας ἡλίκης ἐχθρὸς ἄσπονδος, ὁ τὸν ἀνατεθέντα τούτῳ παῖδα ταύτης ἀναιρήσας ἐπικλόπως Πολύδωρον, ὕστατα δ' ἀποτυφλωθεὶς ἐνδίκως κερκίσι τῇ ἀδικηθείσῃ ταύτῃ μητρὶ τοῖον ἀδίκημα, κατὰ χρόνον τῆς τοῦ τυφλωθέντος ἀποτυφλώσεως πρὸς αὐτὴν αὐτὸς μεμηνὼς 302 *ἐξεφοίβασεν· ὦ τάλαινα, κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα, ἤτοι πυρώδη βλέμματα. ταῦτ' οὖν εἶπεν εἰκότως, οἶμαι, ὡς τῇ λύπῃ πυρσωθείσης τοὺς ὀφθαλμοὺς τῆς Ἑκάβης καὶ μανίᾳ τῇ πρὸς αὐτοὺς τοὺς λυπήσαντας· ὀφθαλμοὶ γὰρ πάντως λυπουμένων ὡς τὰ πολλὰ καὶ μαινομένων πυρσοῦσθαι πεφύκασι. γονίμως ἀποτίκτειν σκυλάκια, καὶ μὴν κατὰ τῶν λυπούντων τοὺς ὀδόντας ἐκτρίζειν πυρσοῖς ὄμμασι καὶ ὑφέρπειν ὀλεθρίως θυμῷ νέρθεν καρδίας παφλάζοντι πρὸς τούτων τὸν ὄλεθρον, οὕτω τὸ τοῦ τυφλωθέντος τεκμηριῶδες Πολυμήστορος φοίβασμα εὐφυῶς προσήρμοσε τῷ περὶ τὴν Ἑκάβην τελεσθέντι πάθει καὶ πράγματι ὕστατα. εἴτε δὲ γνώσει τοῦ* 303 *φοιβάσαντος εἴτε κατὰ συμβεβηκὸς πεφοίβαστο τὰ ῥημάτια, ἡμεῖς μὲν οὐκ ἴσμεν, ἡ δὲ συνείδησις τοῦ εἰπόντος καὶ θεὸς πρὸ τούτου ἐπίσταται.*

Πέρας ἄρτι τῶν παρ' ἡμῶν συλλεχθέντων καὶ τῷ παρόντι πίνακι ἐκτεθέντων ἀκολούθως πάντως συντελούντων εἰς εἴδησιν ἀκριβεστέραν τῶν τελε-

1 *Πολυμήστωρ a πολυμήτωρ* A B 2 *ὕστατα* A *ὑστάτη* B *ὑστάτως a* *ἥλικος a* 4 *ἐπικλόποσ* B *δὲ* B *a* 8 post *κύων*: *γε* B *a* om. A *πυρσὰ a* 9 *δέργματα a δέρματα* A B uid. Eur. Hec. 1243 Kirchh. (ed. mai.): *κύων γενήσῃ πύρσ' ἔχουσα δέργματα* *ταῦτα a* 16 *ὀλεθρίῳ a* 19 *προσήρμωσε* A B *a* quod correxi 24 *ἡμῖν a* 25 *ἀκολουθέν* B *πάντων a* 26 *τελεσιουργηθέντων a τελεσιουρθέντων* A B

σιουργηθέντων περὶ τὴν Τροίαν πραγμάτων πάντων καὶ πασῶν ὑποθέσεων καὶ τῆς τῆς Τροίας τεθρυλλημένης πορθήσεως. οἱ γοῦν ἐντυγχάνοντες τούτοις καὶ συλλογιζόμενοι κατὰ νοῦν, ὁπόσος ὁ περὶ ταῦτα πόνος καὶ τὰ πρὸ τούτων γεγένηται τοῦ συλλέξαντός τε ταῦτα καὶ τἄλλα ἐκ διανοίας χαμερποῦς καὶ
304 γλώσσης ἀπόρου συγγράψαντος, ὑπὲρ τῆς τούτου ψυχῆς διὰ τὸν κύριον εὔχεσθε.

Εἰκὸς δὲ καὶ τὰ παρ' ἡμῶν πρὸς τοῖς ἄλλοις συλλεχθέντα χαρακτηρίσματα Ἑλληνικῆς χορείας ἐκκρίτων ἀνδρῶν καὶ Τρωικῆς ὁμηγύρεως, ἔτι τε συμβεβηκότα τινὰ τῷ εἴδει τούτων καὶ σώματι ἀναγγεῖλαι συνεπτυγμένως τοῖς ἐντυγχάνουσι, ἵνα κἀκ τούτων παραψυχήν τινα λόγων οἱ τοῖς γράμμασιν ἐντυγχάνοντες ἐρανίζοιντο. καὶ δὴ λεκτέον. τὰ μικρὰ γὰρ τοῖς μεγάλοις οἷά τινες παῖδες ἤδη τεκτόνων προσπλάττομεν περίβολόν τινα τοῖχον συναπαρτίζοντες πόλεως καὶ τοὺς μικροὺς κάχληκας τοῖς μεγάλοις λίθοις καὶ τετραγώνοις περὶ τὴν διαρτίαν ὅλην τοῦ τείχους τεχνικῶς ἐφαρμόττοντες.

305 Ὁ βασιλεὺς Ἀγαμέμνων μέγας ἦν, λευκός, εὔρινος, δασυπώγων, μελάνθριξ, μεγαλόφθαλμος, ἀπτόητος, εὐγενής, μεγαλόψυχος.

Ὁ Μενέλαος, ὁ τούτου αὐτάδελφος, κονδός,

5 πρὸ A πρὸς B *a* 8 εὔχεσθαι *a* 9 ΙΣΑΑΚΙΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ Περὶ ἰδιότητος καὶ χαρακτήρων τῶν ἐν Τροίᾳ Ἑλλήνων τε καὶ Τρώων *r* et codex Lugdunensis „ex legato Bonauenturae Vulcanii" 62 (Catalog. p. 347) nisi quod τε om. 9 δὲ habet *r* 10 χορείας om. *a*, non *r* 14 οἱ — ἐντυγχάνοντες om. *a r* 15 καὶ δὴ καὶ *a r* 17 προπλάττομεν B τοῖχον scripsi τυχὸν A B *a r* 21 singularum personarum, de quibus agitur, nomina singula capita inscripta habent in C *a r*, om. A B cum sequentibus cf. Daretis Phrygii capp. XIII. XII ibique Andreae Dederichi adnotatio 21 ὁ om. *a r* 24 Ὁ Μ. om. C ὁ μενέλεως B ἀδελφὸς *a r* κονδὸς A B C βραχὺς *a r*

εὔστηθος, πυρρός, ἰσχυρός, δασυπώγων, εὔριν, εὐπρόσωπος.

Ὁ Ἀχιλλεὺς εὔστηθος, μέγας τὸν ὄγκον τοῦ σώματος, μακρόσκελος, σπανός, ξανθός, εὐπρόσωπος, οἰνοπαής, γοργοὺς ἔχων τοὺς ὀφθαλμούς, πολύθριξ, μακρόρριν, τοὺς πόδας ὠκὺς καὶ τοῖς ἅλμασι δόκιμος, δεινὸς πολεμιστής, εὐχαρής, φιλήδονος, μεγαλόψυχος καὶ καλλίφωνος. ταῦτα τούτου τὰ ἰδιώματα, τὰ μὲν τὴν τούτου δραστηρίαν ἐνέργειαν 306 *τεκμαιρόμενα, τὰ δὲ τοῦ φυσικοῦ θυμοῦ καὶ προαιρετικοῦ τὴν ὀξύτητα.*

Ὁ δ' αὖ τούτου διάπυρος φίλος Πάτροκλος παχὺς τὸ σῶμα καὶ ἰσχυρός, τὴν ἡλικίαν σύμμετρος, ὑπόξανθος, λευκόπυρρος, εὐπρόσωπος, εὐόφθαλμος, εὐγενής, δυνατὸς πολεμιστής, κατεσταλμένος, εὐπώγων.

Ὁ Ὀδυσσεὺς διμοιραῖος, λευκὸς τῷ σώματι, ἁπλόθριξ, εὐπώγων, μαλακόχρους, μιξοπόλιος, σύνοφρυς, εὔρινος, μεγαλόψυχος, δυνατὸς πολεμιστής, προγάστωρ, ἠθικός, εὐόμιλος.

Ὁ Διομήδης τὴν ἡλικίαν τετράγωνος, ἰσχυ- 307 *ρός, ξανθός, εὔσχημος, μελίχρους, εὐπρόσωπος καὶ*

1 *εὔριν εὐπρόσωπος* om. *a r* 2 de Menelao cf. Tzetz. *Posth.* 656 sq. et de Agamemnone ibid. v. 654 sq. 3 cf. Tzetz. *Posth.* 469 sqq. 6 *μακρόρριν a r μακρόριν* A B C *ὠκὺς* scripsi, *ὀξὺς* A B C *ar καὶ* om. C 7 *δεινὸς — καλλίφωνος* om. A B 8 *ταῦτα τούτου τὰ* C *ar ταῦτα τούτα τὰ* A B 9 *τὴν τούτου* C *a r τὴν τοῦ* A B 12 cf. Tzetz. *Posth.* 475 sq. *ὁ* om. *r φίλος* om. *r ὁ Π. ar* 14 *λευκόπυρρος a r λευκόπυρος* A B C 15 *πολεμιστὴς δυνατὸς εὐγενὴς δυνατὸς* C 17 cf. Tzetz. *Posth.* 672 sq. *τὸ σῶμα* C 18 *μαλάχρους* A B in quo *μαλακόχρους* latet; *μελάγχρους* C *a* (*μελάνχρους r*) quod propter illud, quod praecedit, *λευκὸς* ferri nequit 20 post *εὐόμιλος*: *μελάγκορος ἤτοι καὶ ἀσόκουρος* C 21 cf. Tzetz. *Posth.* 668 sq. 22 *μελίχροος* C

ὑπόσιμος, ξανθοπώγων, οἰνοπαὴς τοὺς ὀφθαλμούς, σώφρων καὶ κονδοτράχηλος.

Νέστωρ, ὁ γηραιὸς καὶ μέγας τοῖς Ἕλλησι κατὰ σύνεσιν σύμβουλος, μέγας τῇ ἡλικίᾳ, κατάρρινος, ὑπόπυρρος, πολιόθριξ, γλαυκόφθαλμος, πολιοπώγων, μάκροψις, εὐσύμβουλος, φρόνιμος.

Ὁ Πρωτεσίλαος ἁπλόθριξ, ὑπόξανθος, ἀρχιγένειος, μακρός, εὔθετος, τολμηρὸς πολεμιστής.

308 *Παλαμήδης μακρός, λεπτός, λευκός, μάκροψις, εὔρινος, ἁπλόθριξ, μελάνθριξ, μικρόφθαλμος, οἰνοπαής, λαρυγγὰς ἤτοι λαβραγόρας, φρόνιμος, εὐπαίδευτος, πολύβουλος, μεγαλόψυχος. ᾧ δὴ πρώτως τὸ ταυλίζειν, ἤτοι κυβεύειν, ἐξεύρηται. ἐκ γοῦν τῆς κινήσεως τῶν ἐν οὐρανῷ ἑπτὰ πλανητῶν τῶν κατὰ μοιρικὴν τύχην, ὥς φασιν, ἐπαγόντων χαρὰς τοῖς ἀνθρώποις καὶ λύπας ὡρίσατο τὴν ταῦλαν, ἤτοι τὸν πίνακα τοῦ παιγνίου, τὸν γήινον κόσμον, τοὺς δὲ δώδεκα κάσσους, ἤτοι τὰ χαρακώματα τούτου, τὸν ζῳδιακὸν ἀριθμὸν καὶ τὸ ψηφοβόλον καὶ τὰ ἐν αὐτῷ κοκκία ἅπερ τῷ κύβῳ ῥιπτάζονται, ὡς ἀναλογοῦντα τοῖς ἀστράσι, τόν τε πύργον αὐτὸν τὸν καλούμενον*

1 *ὑπόσιμος a r ὑπόσημος* A B C post *ὀφθαλμοὺς*: *ἤτοι* (sic) C 2 *κονδοτράχηλος* A B C *βραχυτράχηλος a r* 3 cf. Tzetz. *Posth.* 658 sq. *γεραιὸς a r* *κατὰ σύνεσιν* om. *a r* 4 *τὴν ἡλικίαν* C *κατάρρινος* scripsi, *κατάρινος* A B C *a r* 5 *ὑπόπυῤῥος a r ὑπόπυρος* A B *ἤτοι ὑπόπυρρος* (sic) C 6 *εὐσύμβουλος a r* C *εὐσήβουλος* A B 7 cf. Tzetz. *Anteh.* 223 sqq. 8 *μακρὸς τολμηρὸς πολεμιστὴς εὔθετος ἤτοι*: C 9 Tzetz. *Anteh.* 398 sqq. *Chil.* III 173 sqq. *ὁ Π. a* 11 *λαβραγόρας* A B *λαυρειόρας* C *λαυραγόρας a r* 12 Joannes Malalas p. 103, 11 sqq. ed. Bonn.; Georgius Cedrenus I p. 220, 8 sqq. ed. Bonn.; Suidas s. v. *τάβλα* *πρώτος* C 15 *χαρὰν* C 16 *ὡρίσατο* C *a r ὡρίσαντο* A B *τάβλαν* Mal. Cedr. Suid. 17 *γήϊνον* C *a r γήινος* A B *δὲ* om. C 18 *κάσκους a r κάσους* Cedr. Suid.

*μόδιον τὸ ὕψος αὐτὸ τὸ οὐράνιον αἰνιττόμενον,
ἐξ οὗ καὶ ἔρχονται εἰς ἡμᾶς κατὰ ἀνταπόδοσιν, ὥς* 309
φασιν Ἕλληνες, κακὰ καὶ καλά. τούτοις οὖν ὁ Παλαμήδης, σοφίᾳ πεπαιδευμένος ὤν, πάλαι τὴν ταῦλαν ἀπήρτισεν.

Ὁ Μηριόνης κονδὸς ἦν, πλατύς, λευκός, εὐπώγων, μεγαλόφθαλμος, μελάγκορος, οὐλόθριξ, πολύθριξ, στρεβλόρρινος, πολεμιστὴς περίεργος, μεγαλόψυχος.

Ὁ Ἰδομενεὺς διμοιραῖος, μελάγχρους, εὐόφθαλμος, (εὔθετος, ἰσχυρός, εὔρινος, δασυπώγων, εὐκέαλος, φουλόθριξ, ἀπονενοημένος πολεμιστής.

Φιλοκτήτης εὐμήκης, εὔθετος, μελάγχροος, σύνοφρυς, γενναῖος, εὐόφθαλμος,) μελάνθριξ, μελάγκορος, φρόνιμος, εὐπώγων, πολύθριξ, εὔστοχος τοξότης, μεγαλόψυχος.

Αἴας ὁ Λοκρὸς εὐσθενής, μελίχρους, εὔρι- 310
νος, ἑτερόφθαλμος, οὐλόθριξ, μελάνθριξ, δασυπώγων, μάκροψις, πολεμιστὴς τολμηρός, μεγαλόψυχος, καταγύναιος.

Πύρρος, ὁ καὶ Νεοπτόλεμος, εὐῆλιξ, λεπτός, εὐθώραξ, λευκός, εὔριν, πυρρόθριξ, οὖλος καὶ ὑπόγλαυκος, μεγαλόψυχος, ξάνθοφρυς, ἀρχιγένειος,

1 *αὐτὸ οὐρανίον* B 2 *ἡμᾶς* A B C *τιμὰς* *a r* 4 *παιδευόμενος* C 5 *ἀπήρτησεν* B *ἀπήρησεν* C 6 uid. Tzetz. *Posth.* 662 sq. cum sequentibus usque ad p. 87, 18 cf. Jo. Malalas p. 103, 17 sqq. ed. Bonn. *κονδὸς* A B C *βραχὺς* *a r* *δὲ ἦν κονδος* C 7 *μελανόφθαλμος* *a r* 8 *στρεβλόρινος* A B C *a r*, quod correxi *περίγοργος* Mal. 10 cf. Tzetz. *Posth.* 660 sq. *διμοιραῖς* C 11 *εὔθετος — εὐόφθαλμος* omiserunt A B C (*ar*) ab altera uoce *εὐόφθαλμος* ad alteram aberrantes: quae suppleui ex Malala; cf. Tzetz. *Posth.* 581 17 cf. Tzetz. *Posth.* 664 sq. 21 cf. Tzetz. *Posth.* 526 sqq. (uid. v. 536 sq.) 22 *εὔριν* om. A B 23 *μεγαλόφθαλμος* Mal.

ξανθογένειος, στρογγύλοψις, προπετής, τολμηρός, εὔσκυλτος, πικρὸς πολεμιστής. οὗτος δὲ ὑπῆρχεν υἱὸς τοῦ Ἀχιλλέως, κατὰ τὴν τούτου ὁμοίωσιν γνώμης πολεμῶν τῇ πικρότητι· ἦν δὲ ἐκ Δηιδαμείας, θυγατρὸς Λυκομήδους, ὃς μετὰ τελευτὴν Ἀχιλλέως ἐξεπέμφθη ὑπὸ Θέτιδος καὶ Πηλέως, πάππου αὐτοῦ,
311 *αἰτηθεὶς ὑπὸ τῶν Ἀχαιῶν, ὡς τοῦ Ἀχιλλέως δόλῳ φονευθέντος παρὰ τοῦ Πάριδος Ἀλεξάνδρου, ἐκδικῆσαι τὸ πατρῷον αἷμα. καὶ ὁπλισάμενος εἰς Ἴλιον ἐπεστράτευσε σὺν νηυσὶν εἴκοσι δυσὶν ἐκ τοῦ Πηλέως, λαβὼν ἴδιον στρατὸν Μυρμιδόνων τὸν ἀριθμὸν χιλίων ἑξακοσίων ἐνενήκοντα καὶ ἀποπλεύσας κατέλαβε τὴν Τροίαν καὶ εὗρεν εἰς τὰς σκηνὰς τοῦ ἰδίου πατρὸς φύλακα Ἱπποδάμειαν τὴν Βρισηίδα τῶν Ἀχιλλείων πάντων πραγμάτων, ἣν ἀποδεξάμενος εἶχεν ἐν πολλῇ τιμῇ ὁ ἐλθὼν αἰτήσας αὐτὴν φύλακα εἶναι καὶ τῶν αὐτοῦ ἐν τῇ πατρῴᾳ σκηνῇ. καὶ μετ' ὀλίγον καιρὸν νόσῳ καὶ αὐτὴ ἐτελεύτησεν.*

312 *Ὁ Κάλχας, ὁ μάντις, λευκός, λεπτός, τὴν κάραν ὁλοπόλιος, πολύθριξ τὸ γένειον, μάντις καὶ οἰωνοσκόπος ἄριστος.*

Οὗτοι μὲν ἦσαν τῶν Ἑλλήνων οἱ πρόκριτοι σὺν τῷ Τελαμωνίῳ Αἴαντι οὗ τὰ ἰδιώματα σὺν τοῖς λοιποῖς τῶν ἀνδρῶν ἰδιώμασιν οὐχ εὕρομεν ἀναγε-

1 *ξανθογένειος* om. *a r* 2 *ὑπῆρχεν* C *a r* *ὑπῆρ* in fine uersus A *ὑπὲρ* ex *ὑπὴρ* B[1] 3 in uerba *τοῦ ἀχιλλέως* desinit C 4 *δὲ ἐκ* om. *r* *Δηϊδαμείας* *a r* *δαμείας* AB 7 *φθόνῳ καὶ δόλῳ* *a r* 10 *κβʹ* A B *a r* cf. p. 88, 21 (*δυσίν*) 12 *ἄχϛ* A *ἄξει* B 13 *τὰς* A B *τὰς ἰδίας* *a r* 14 *φύλακα* post *πραγμάτων* habent *a r* 17 *αὐτοῦ* non *αὑτοῦ* AB *ar* 18 *τετελεύτηκεν* *a* 20 cf. Tzetz. *Posth.* 666 sq. 22 *οἰωνοσκόπος* *a r* *οἰνοκόπος* A B 24 cf. de Aiace Telamonio Tzetz. *Posth.* 492 sqq. *σὺν — ἰδιώμασιν* om. *a r*

γραμμένα καὶ συνηριθμημένα τῷ πίνακι τοῦ παλαιοῦ ἐν ᾧ τῶν λοιπῶν ἡ ἀπαρίθμησις παρ' ἐκείνου γέγονεν· διὸ καὶ παρ' ἡμῶν ἐν τῇ παρούσῃ ἀπαριθμήσει κατελείφθησαν ἄγραφα.

Τῆς δὲ Τροίας οἱ ἔκκριτοι οὗτοι·

Ὁ Πρίαμος, ὁ βασιλεύσας τῆς Τροίας, εὐμήκης τὴν ἡλικίαν, μέγας τὸν ὄγκον τοῦ σώματος, καλὸς τὸ πρόσωπον, πολιὸς τὴν τρίχα, γέρων, ὑπόγλαυκος, 313 *μακρόρριν, εὐόφθαλμος, πολύθριξ καὶ σύνοφρυς, τούτῳ ἔχων συνεξευγμένην τὴν τῆς δυστυχίας ἐκείνης καὶ δυσδαιμονίας κακότητα, ᾗτινι προσταλαιπωρήσας οἰκτρῶς πάλαι τέλος ζωῆς ἀθλίας διὰ τοῦ σωματικοῦ χοὸς τῷ χοῒ ἀπέδωκεν ὁ τρισάθλιος.*

Ὁ Δηίφοβος διμοιραῖος, εὐθώραξ, εὐόφθαλμος, ὑπόσιμος, οὐλόθριξ, εὐπώγων, πλατύοψις, γενναῖος.

Ὁ Ἕλενος μακρός, εὔθετος, λευκὸς τὸ χρῶμα τοῦ σώματος, ἰσχυρός, ξανθός, μακρόθριξ, λεπτοχαράκτηρος, ἀρχιγένειος, ὑπόκυρτος, φρόνιμος πολεμιστής, οἰνοπαὴς τοὺς ὀφθαλμούς.

Ὁ Τρωίλος μέγας, καλός, εὔριν, ἁπλόθριξ, 314 *μελάνθριξ, μελισσόθριξ, μελίχρους, καλόφθαλμος, δασυπώγων, ἰσχυρὸς πολεμιστής.*

Ὁ Πάρις Ἀλέξανδρος εὐῆλιξ, εὐσθενής, λευκός, εὔριν, εὐόφθαλμος, οὐλόθριξ, μελάνθριξ, μάκροψις, πολύθριξ, ἀρχιγένειος, κάτοφρυς, εὔχαρις,

2 *καὶ τῶν* *a r* 6 cf. Tzetz. *Posth.* 363 sqq. 8 *πολιὸς* correxi ex Malala; *πυρρὸς* A B *a r* 11 *προσταλαιπώρησαν* *r* 14 cf. Tzetz. *Posth.* 376 sq. 15 *ὑπόσιμος* *a r* *ὑπόσημος* A B 17 cf. Tzetz. *Posth.* 373 sqq. 18 *ξανθός* om. *a r* 19 *ἀρχιγένειος* *a r* *ἀρχηγένειος* A B 21 cf. Tzetz. *Posth.* 382 sq. 22 *μελισσόθριξ, μελάνθριξ* *a* et *r* nisi quod *μελλισσόθριξ* 24 cf. Tzetz. *Anteh.* 125 sqq.

μεγαλόστομος, τοξότης εὔστοχος, δειλὸς περὶ πόλεμον.

Ὁ Αἰνείας παχύς, εὔστηθος, ἰσχυρός, πυρράκης, πλατύοψις, εὔριν, λευκόχρους, εὐπώγων, γλαυκός, νουνεχής, φρόνιμος, εὐσεβής.

315 Ὁ Ἀντήνωρ μακρός, λεπτός, ἰσχυρός, λευκός, ξανθός, μικρόφθαλμος, γλαυκός, καμπυλόρριν, λευκοχαράκτηρος, εὔλογος, δειλός, δόλιος, ἀσφαλής, πολυίστωρ, ἐλλόγιμος.

Ἡ πολύτλητος Ἑκάβη καὶ δύστηνος μελίχροος, γραῦς, εὐόφθαλμος, ὡραία, εὔριν, φιλότιμος, εὐόμιλος, ἥσυχος, πάσας οἶμαι γυναῖκας ὑπερβεβηκυῖα τοῖς ἀτυχήμασιν.

Ἡ Ἀνδρομάχη, ἡ τοῦ Ἕκτορος σύνευνος, διμοιραία, λεπτή, εὔστολος, εὔριν, εὐόφθαλμος, εὔοφρυς, οὐλόθριξ, ὑπόξανθος, ὀπισθόκομος, μακρο-316πρόσωπος, εὐτράχηλος, εὔχαρις, γοργὴ τὴν διάνοιαν, γελασίνας ἔχουσα τὰς παρειάς.

Ἡ Κασσάνδρα, σύνευνος οὐδενός, κονδή, στρογγυλοπρόσωπος, λευκή, πάνυ ἀνδρώδης τὴν πλάσιν, εὔριν, εὐόφθαλμος, μελάγκορος, ὑπόξανθος, καρηκομῶσα, οὔλη, εὐτράχηλος, ὀγκόμασθος, μικρόπους, ἥσυχος, εὐγενής, ἱερατική, μάντις ἀκριβής, παρθένος ἁγνὴ καὶ πάντα προλέγουσα.

3 cf. Tzetz. *Posth.* 378 sq. *πυρράκης* om. *a r* 5 *Γλαῦκος* Malalas, qui ex nostro corrigendus; de Glauco nihil apud Tzetzam. 6 cf. Tzetz. *Posth.* 380 sq. 7 *ξανθός* om. *a r* *ἀγκυλόρινος* Mal. 8 *εὔλογος a r* om. A B *δειλός, δόλιος* om. *a r* 9 *ἀλλόγιμος r* 10 cf. Tzetz. *Posth.* 366 sq. *μελίχρους a* 14 cf. Tzetz. *Posth.* 368 sq. *διμοῖρα r* 19 cf. Tzetz. *Posth.* 370 sqq. *κονδὴ* A B *βραχεῖα a r* 20 *πανανδρώδης r* 22 *οὔλη a r οὔλην* A B *ὀγκόμασθος* Mal. (Tzetz.) *ὀγκόμματος a r ὀγκόματος* A B 23 *ἥσυχος — ἀκριβής* om. *a r*

Ἡ Πολυξένη μακρά, καθαρά, λευκή, πάνυ ἀνδρώδης τὴν πλάσιν, μεγαλόφθαλμος, μελάνθριξ, οὔλη, εὔριν, εὐόφθαλμος, ὀπισθόκομος, λεπτοπρόσωπος, μικρόστομος, εὔχαρις, ἀνθηρόχειλος, μικρόπους, παρθένος, μηλόμασθος, ὡραία ἐνιαυτῶν οὖσα ὀκτωκαίδεκα, ἥτις τοῖς Ἕλλησι παρανόμως ἁρπαγεῖσα 317
μητρικῶν ἀγκαλῶν περὶ τὸν τάφον τοῦ Ἀχιλλέως ἐσφαγιάσθη, καθὼς καὶ πρότερον εἴπομεν.

Ἕκτωρ, ὁ τοῦ Πριάμου καὶ τῆς Ἑκάβης υἱός, ὁ πάντων οἶμαι τῶν Τρώων καὶ τῶν Ἑλλήνων στρατηγικώτερός τε καὶ ἀνδρειότερος καὶ ταῖς τῶν ὅπλων μεταχειρίσεσι περιδέξιος, ὁ τῷ ποιητῇ θρυλλούμενος οὗτος, κορυθαιόλός τε καὶ φλογὶ εἴκελος καὶ λεοντώδης ταῖς περὶ μάχην ὁρμαῖς, μελάγχρους ἦν, πάνυ μακρός, εὔογκος, δυνατὸς ἐν ἰσχύι τοῦ σώματος, εὔριν, οὐλόθριξ, μελάνθριξ, εὐπώγων, ψελλός, ἑτερόφθαλμος, εὐγενής, φοβερὸς πολεμιστής, ἐν πολέμῳ βαρύφωνος. ταῦτα δὴ τοῦ τοιούτου ἀν- 318
δρὸς τὰ χαρακτηρίσματα, τεθέντος ἐσχάτου μὲν ἐν τῇ παρούσῃ ἀπαριθμήσει, πρώτου δὲ πάντων Ἑλλήνων καὶ Τρώων ὄντος κατὰ πόλεμον, ὡς οἰόμεθα, τῆς περὶ τοῦτον ἐνεργείας καὶ δραστηριότητος τοῦ ἀνδρὸς μαρτυρούσης τοῦτο δὴ τὸ νῦν παρ' ἡμῶν διαφημιζόμενον.

Ἀλλὰ ταῦτα πάντα τὰ περὶ τοὺς ἄνδρας ἐγγεγραμμένα καὶ θεωρούμενα ὁ σοφώτατος ἐκεῖνος

1 cf. Tzetz. *Posth.* 505 sqq. 2 *μελανόφθαλμος a r* 5 *μηλόμαστος r* 6 $\overline{ιη}$ A B *a r* 8 *ἐσφαγίσθη r* *καθὼς — εἴπομεν* om. *a r* 9 cf. Tzetz. *Hom.* 266 sq. *Ὁ Ἕκτωρ a r* 12 *θρυλλούμενος a r* *θρηλλούμενος* A B 16 *μελάνθριξ* om. *a r* 18 *τοιαῦτα a r* 21 *ὄντος* A B *ὄντως a* *οὗτος r* 23 *ταῦτα r* 25 cf. Jo. Malalas p. 107, 1 sqq.; Georg. Cedrenus I p. 223, 4 sqq. *πάντα* om. *r* *ἐκγεγραμμένα a r* 26 *ὁ* om. *r*

Δίκτυς ὑπεμνημάτισεν ἀληθῶς ὁ ἐκ τῆς Κρήτης ὁρμώμενος, οὐ μὴν μόνον ταῦτα τὰ ἰδιώματα τῶν ἀνδρῶν φημι ἀλλὰ καὶ τὰ γεγονότα πάντα περὶ τὴν Τροίαν παρά τε τῶν Ἑλλήνων καὶ τῶν Τρώων
319 *συρρηξάντων τὸν περιβόητον πόλεμον. ἦν γὰρ αὐτὸς ὁ συγγραφεὺς τότε μετὰ τοῦ Ἰδομενέως ἐκείνου τοῦ προμάχου τῶν Δαναῶν τοῖς Ἕλλησι συστρατεύσαντος. καὶ γὰρ καὶ τοῦτον ὁ Δίκτυς αὐτὸς συνεγράψατο ὡς παρὼν καὶ ὄψει καθιστορήσας πάντα τὰ παρ' αὐτοῦ γεγραμμένα. ναὶ μὴν καὶ τοὺς προτραπέντας ὑπὸ Ἀγαμέμνονος καὶ Μενελάου τῶν αὐταδέλφων βασιλέων ἀποπλεῦσαι καὶ κατελθεῖν σὺν αὐτοῖς εἰς τὴν Ἴλιον ὁ Δίκτυς αὐτὸς συνεγράψατο. ἀλλ' ὁ μὲν Ἀγαμέμνων τε καὶ Μενέλαος, υἱοὶ τοῦ Ἀτρέως τυγχάνοντες, τῶν Ἑλλήνων αὐτῶν μεγαλοπρεπῶς ἡγεμόνευον, εἰς Τροίαν πανστρατὶ διὰ ναυτικοῦ στόλου παραγενόμενοι καὶ πάντα τῇ μετὰ τῶν*
320 *Τρώων διαμάχῃ παθόντες τε καὶ ποιήσαντες ὅσα δήπερ ὁ ποιητὴς Ὅμηρος τῇ παρούσῃ βίβλῳ διὰ τῶν εἴκοσι τεσσάρων γραμμάτων ἡμῖν διεσάφησεν. ἡμεῖς δὲ τοῖς δυσὶν ἡγεμόσι τούτοις τελικώτατον ἄρτι πέρας τῶν παρ' ἡμῶν πονηθέντων καὶ γραφέντων τῷ παρόντι τιθέαμεν πίνακι, τὴν τῶν ἐντυγχανόντων τούτῳ εὐκτικὴν εὔνοιαν διὰ τῶν ἀναγεγραμμένων παρ' ἡμῶν ἐν θεῷ προσκαλούμενοι.*

4 *πέρα* B 5 *ἐρρηξάντων* r *πόλεμον καὶ γὰρ* r 7 *τοῦ* om. B *ἐνστρατεύσαντος* r 8 *τούτων* r 10 *αὐτοῦ*, non *αὐτοῦ* A B *a r* *καὶ μὴν* B *a* 13 in uerbum *συνεγράψατο* desinit *r* 18 *ὅσαπερ* *a* 20 *κ δ* A B *a* 25 *τέλοσ* B

INDEX NOMINUM.

Addenda et corrigenda.

In textu:

pag. 4, 16 lege: *συγκινδυνεύσουσιν.*

,, 5, 1 ,, *συναγωνίσεται*, (*συναγωνίζεται Ω*)

,, 5, 7 ,, *κομιδῇ*,

,, 7, 9 *δ' ἐκ* pro *δὲ καὶ* (Ω) scribendum esse monuit me Augustus Mau amicus.

,, 7, 10 an *αἱρετέον*? (*αἱρετὸν Ω*)

,, 8, 1 lege: *οὖν*, *ἐπὶ*

,, 8, 11 immerito mihi suspecta fuerunt uerba *τὸ χρῶμα*.

,, 11, 2 lege: *ὀχήμασιν* (*σχήμασιν Ω*; corr. A. Mau cf. Jacobs ad Ach. Tat. p. 471)

,, 12, 3 ,, *συστρατιώτας*

,, 13, 8 ,, *εἰκῇ*

,, 17, 11 ,, *λόγῳ·*

,, 18, 5 ,, *ὑπὸ τῆς Ἀσίας ὅλης βεβιασμένον ὅτι τέθνηκεν ὁμολογῆσαι.* (*βεβιασμένον* post *ὁμολογῆσαι Ω*)

,, 19, 17 *βλήματα* cum C scribendum, ante quod *τοξευμάτων* uel simile quid excidit (corr. A. Mau).

,, 19, 20 lege: *ἀντίτυπος*

,, 22, 10 ,, *δοῖτε;* (*δῶτε Ω*)

,, 23, 7 ,, *δώσετε*

,, 23, 15 ,, *Μαραθωνίαν μηδ' εἰς τὸ πρόσθεν* (*τοῦ πολεμάρχου τίθει τὸν στρατιώτην* uel simile quid). *τῷ πολεμάρχῳ δίδωσι τὸν λόγον ὁ νόμος τῆς δημοσίας ταφῆς.* (corr. A. Mau).

,, 25, 7 ,, *εὐψυχίας* (*εὐτυχίας Ω*; corr. A. Mau)

,, 31, 22 ,, *Δᾶτις* et sic 35, 21; 36, 19.

,, 32, 1 ,, *ὦτα* (*οὖς Ω*)

,, 33, 11 ,, *πολλοὺς ἂν εὕροις* (*ἂν* om. *Ω*)

,, 36, 3 ,, *στρατιώταις*

pag. 36, 9 uerba ἄγαν ὄντα ῥοώδη delenda.
„ 37, 20 lege: γυναικείῳ (γυναικῶν Ω)
„ 38, 1 uerba ἐκείνου δέ delenda.
„ 43, 11 lege: διεπράξατο,
„ 44, 18 „ ἔστι
„ 48, 27 „ μοιχεύεται, (μοιχεύει ABa)
„ 63, 3 „ πράγματος πιεζόμενος,
„ 64, 3 „ Διός,
„ 65, 9 „ ποιήσει
„ 66, 16 „ ἀνῄρηκε et sic 75, 10 (ἀνηρήκει utroque loco ABa)
„ 68, 8 „ ἐνεκολπίσατο,
„ 68, 9 „ πατρικῶς περιθάλψας
„ 68, 15 „ ἀπηνοῦς

In adparatu:

pag. 3, 4 lege: τὸν altero loco
„ 3, 11 „ μαραθῶνι
„ 8, 4 „ ἢ s
„ 13, 15 „ ἐλεύθερον s
„ 19, 7 „ ἀκοὴν
„ 21, 10 „ πεσούσης ABs πέσης Cp πέσειας O 11 ταῦτ' ἐμὲ — ταῦτ' ἐμοὶ scripsi, ταῦτά με — ταῦτά μοι Ωs
„ 22, 1 delendum *et*.
„ 22, 4 lege: ὑμῶν
„ 30, 13 delenda C nota.
„ 31, 5 lege: ἂν
„ 33, 9 „ φύσει
„ 36, 20 „ κινεῖτε B καινεῖτε S
„ 39, 2 „ οἵ Ω
„ 44, 4 cum libellus typis iam esset exscriptus, incidit in manus codex Vaticanus 82, bombycinus saec. XIV, in quo Adriani de venefica declamatio (fol. 192ᵛ—193ʳ) cum Aristidis in Smyrnam monodia (fol. 193ʳ—194ʳ) inter Libanii scripta legitur. cuius libri uarietatem, cum nullius pretii sit, hic enotare nolo.
„ 50, 6 delenda *a* nota.
„ 53, 17 lege: ἧττον ex ἥττων B[1]
„ 64, 19 „ ἀτρείδης AB ἀτρυγέτης *a*
„ 71, 14 „ ἂρ AB
„ 72, 9 „ ἐντὸς εἰσαγάγοιμεν A

BIBLIOTHECA · BODLEIANA ·